ΛΑΝΤΟΝ. τῷ διὶ τὴν σύβωλίαν ἴσον. ΕΠΕΙΤΑ. μετ'
ταῦτα. ΕΣΤΑΟΤΑ. ἑστῶτα. ΕΥΣΕΛΜΟΙΟ.
σύκαθίδρυ. σίλματα γὰρ αἱ τῶν ἱερατόντων καθίδραι. Ε
ΑΠΤΕΤΟ. ἥπλετο. ΕΠΕΙ ΜΙΝ. ἐπειδὴ αὐτὸν.
ΑΧΟΣ. λύπη. ΙΚΑΝΕ. κατέλαβε. ΑΓΧΟΥ.
ἐγγὺς, πλησίον. ΙΣΤΑΜΕΝΗ. φᾶσα. ΔΙΟΓΕΝΕΣ.
ἀπὸ διὸς ἔχων τὸ γόνος σύγενίς ατι. ΛΑΕΡΤΙΑΔΗ. λα
έρτε παῖ ὀδυσσεῦ. ΠΟΛΥΜΗΧΑΝΕ. πολύβουλε. συνε-

ΕΝ

17 Α ΕΝ ΠΝΗΕΣΣΙ. οἰ ταῖς ναυσί. ΟΛΥΚΛΗΙΣΙ. πολυκαθίδροις. ΠΕΣΟΝΤΕΣ. ἐμπεσόντες, ἁλόντες. ΜΗ ΔΕ ΤΕΡΩΕΙ. μὴ δὲ συγχώσει. ΞΥΝΕΗΚΕ. συνῆκεν, ἤκουσεν. ΟΠΑ. φωνῶν. ΦΩΝΗΣΑΣΗΣ. ἐπόσης. ΒΗ ΔΕ ΘΕΕΙΝ. ὥρμησε ἢ βέβηκεν. ΑΠΟ ΔΕ ΧΛΑΙ ΝΑΝ. ἀπεδύσατο ἢ πὶν χλανίδα διὰ τὸ μὴ ἐμποδίζεσθαι
Β αὐτόν. σπεύδοντα ὑπὸ τοῦ πλήθους τῶν ἱματίων. ΕΚΟ ΜΙΣΣΕΝ. ἐκόμισεν, ἐβάστασεν, ἰσχὺν δὲ ὅτι ἕτερος οὐδεὶς ἔσχεν σὺν βάτης, ἡκὶ ἕτερος ὁ ἀγαμέμνονος. οὐ ἐμνήσθη οὐ τῇ α. ἵνα καὶ χαρῇ βασιλίων ἔχων ἰδίας κήρυκας. ΟΠΗ ΔΕΙ. ἠκολούθει. ΑΥΤΟΣ ΔΑΤΡΕΙΔΕΩ ΑΓΑΜΕΜ ΝΟΝΟΣ ΑΝΤΙΟΣ ΕΛΘΩΝ. ὁ ὀδυσσεύς φησὶ πα
Γ ρὰ τοῦ ἀγαμέμνονος λαμβάνει τὸ σκῆπτρον. οὐχ ἁπλῶς δὲ τοῦτο ποιεῖ, ἀλλ' ἵνα δοκῇ σὺν τῇ τοῦ βασιλίως γνώμῃ πρατεῖν αὐτούς. ΑΝΤΙΟΣ. βέβαντίας. ΑΦΘΙΤΟΝ. ποιητικῶς τοῦτο πέπλασται. τὸ μὲν ἀθάνατον ἀδὲ ἐμψύ χων οἱ φιλόσοφοι τάσσουσι. τὸ δὲ ἄφθιτον ἐπὶ ἀψύχων. ΣΥΝ
Δ ΤΩι. σὺν τούτῳ τῷ σκήπτρῳ θλοῦσι. ΕΞΟΧΟΝ. ἐξέχοντά, βασιλία. ΚΙΧΕΙΗι. κατακάβοι. ΑΓΑΝΟΙΣ. προσκυνῆσι, πράοις. ΕΡΗΤΥΣΑΣΚΕ. κατεῖχον, ἐκώλυνε. ΔΑΙΜΟΝΙ. οὔτε κ λίξεις τῶν μέσων ὄζει, θλοῖ δὲ ἀμφότερα. ὅτε μὲν, ἀδὲ ἐπαίνῳ λεγομένῳ, οἷον θεῖε μακάρεσι. μέγιστε ἢ ἀγαθὲ ἠὲ ἄεσσι, ὅτε δ' ἀδὲ ψόγῳ. οἷον ἄφρον ἠδὲ μάταιε. ἢ χείριστε ἠδὲ φαῦλε. ὅτε μὲν οὖν φησὶ θεῖῳ προ
Ε σφορῇ, ἅπασα λίγει ἢ κατὰ θεόν. ὅτε δὲ ἀνθρώπῳ, ὑπερέχον τα ἄνθρωπον. ὡς θλοῦσθαι ἢ πλοῦσα μὲν θεοῦ, ὑπερέχοντα δὲ ἀνθρώπῳ. ΟΥ ΣΕ ΕΟΙΚΕΝ. οὔτε πρέπῳ βέλτιστε. ΚΑΚΟΝ ΩΣ. ὡς κακόν, ἠδὲ ἄνανδρον. ΔΕΙΔΙΣ ΣΕΣΘΑΙ. δύλαβεῖσθαι, φοβεῖσθαι. ΑΥΤΟΣ. σύ. ΚΑ ΘΗΣΟ. ἰάθυ. ΙΔΡΥΕ. καθίζεσθαι, κάθου. ΣΑΦΑ. σα

φῶς.

φῶς. ἀκριβῶς. ΟΙΟΣ. ὁποῖος. ΝΟΟΣ. νοῦς, διάνοια, αὐ- Α
τὸ τοῦτο οὐκ οἶδα ὃ τί βέλτιον περὶ φυγῆς ὑμῖν λέγω.
ΤΑΧΑΔ. ταχέως. δέ. ΙΥΕΤΑΙ. βλάφῃ. ΑΚΟΥ
ΣΑΜΕΝ. ἀκούσαιμεν. ΡΕΞΗι. ποιήσῃ. πράξῃ. ΘΥ-
ΜΟΣ. νῦν ὀργή. ΔΙΟΤΡΕΦΕΩΝ. τὸν οὖν διὸς τῇ
γνώμῃ τιθραμμένων. ΦΙΛΕΙ ΔΕ ΕΜΗΤΙΕΤΑ ΖΕΥΣ
φιλεῖ δὲ αὐτὸν ὁ βουλευτικώτατος ζεύς. ΟΝ ΔΑΥ ὅν Β
τινα δὲ πάλιν. ΔΗΜΟΥ. δημοτικόν. τὸ πλῆθος. ΒΟ
ΟΩΝΤΑ. βοῶντα. λοιδοροῦντα. ΕΦΕΥΡΟΙ. λαται-
λάβοι. ΕΛΑΣΑΣΚΕΝ. ἔωλητον. ΟΜΟΚΛΗΣΑ
ΣΚΕ καὶ ἀπέλησι μὲν ὕβρεως. ΔΑΙΜΟΝΙ. οὐτωσὶ
βαιῷ ὕβρει αὐτὸ τοιακόδαιμον. φαυλότατι. ΑΤΡΕ-
ΜΑΣ ΗΣΟ. μὲν ἡσυχίας λαβέσθαι. ΟΙ ΣΕΟ. ὅτι τι- Γ
νίσσει. ΦΕΡΤΕΡΟΙ. πρέσβεσι. ΑΠΤΟΛΕΜΟΣ
ἄπειρος πολέμου. ἄθλιος. ΑΝΑΛΚΙΣ. ἀσθενὴς. ἀδύ
νατος. ΕΝΑΡΙΘΜΙΟΣ. οὐ καταριθμούμενος. ΒΟΥ
ΛΗι. τοῦ ἐν μιᾷ ἐκκλησίᾳ. ΟΥ ΜΕΝ ΠΩΣ. οὐ μὴν.
οὐδαμῶς πως ΟΥΚ ΑΓΑΘΟΝ. ἀντὶ τοῦ οὐ καλόν.
ΠΟΛΥΚΟΙΡΑΝΙΗ. πολυαρχία. ΚΟΙΡΑΝΟΣ. Δ
βασιλεύς. ἡγεμών. ὄντως γοῦν ἔστι καὶ πρόσωπα ἀρχὴ διὰ τῆς
μοναρχίας μεγάλη ἐστί. καὶ οἱ ἀθηναῖοι δὲ ὁπότε πλείονας
παρεῖχον τῷ στρατεύματι ἡγεμόνας, ὡς οὐ κατὰ πόλιν
τοὺς οὐνίκα. ἔτιθεντο. ὁπότε δὲ δι' ὀλίγου ἐποιοῦντο τοὺς ἀγῶ-
νας. οὐίκων. ὥσπερ οὖν τῇ νυὶ λόγῳ ὁ κόναν νικῶν τὸ τῶν πιλο
πουνησίων στρατόπεδον. ὅπουγε καὶ τὰ σώματα ἡμῶν ἐλ- Ε
σαν ἐς ἑνὸς στοιχεῖα, οὐδέποτε ἂν ἔλεγεν. ὄντι γὰρ ἡμῦν οὖ
ἀλγήσειαν ἐν ὄντα, ὡς φησιν ὁ θεὸς ἐν πολλοῖς ῥήτης καὶ οὐ
τρόπῳ δὲ πάλιν ὁ αὐτὸς ἀνὴρ πάλιν τὸ πολὺ τῇ φύσει πολέ
μιον. τὰ γὰρ πολλὰ ἀλλήλοις ἀνθιστάμενα, ὥσπερ πόλε-
μον ἐπιφέρει. ἀφ' οὗ φθορά. ΑΓΚΥΛΟΜΗΤΕΩ.

Α ἀγκυλομήτης ὁ μέρων ἐκλήθη. ἤτοι ἀγκύλα ἡδὲ σκολιὰ βεβουλευσάμενον κατὰ τὸ παρὸν ἡδὲ τῶν παίδων. ὡς φησιν ἡσίοδος. τὸ μὲν γὰρ τὰ αὐδῶσι τῇ ἅρπῃ ἀπίτωμι. τοὺς δὲ ἰατίπιμι. ἢ ὁ τὰ ἀγκύλα ἡδὲ δυσχερῆ πράγματα τῇ μήτι περιλαμβάνων. μέρονες τίς ὧν ἡμῖν τίλεσ ὑπ. ὡς φησι ἡδὲ ἡ λημώ. ἀγκυλομήτης ὁ ἐν τοῖς σκολιοῖς πράγμασιν συμπλεκόμενος. λαοὶ δὲ τὸ ἀγκύλον παρὰ τῷ ποιητῇ ῥία. τὸ σκολιὸν καὶ βέλουσιν. ὡς ὅταν λίγῃ ἀγκυλομήτιν τὸν μέρονα. ἡδὲ τὸ περιφερὲς καὶ σχῆμα. ὡς τὸ ἀγκύλα λύπλα. ἢ τὸ ἰσχυρὸν. ὡς τὸ ἀγκύλον ἅρμα. ΩΣ ΟΓΕ. οὕτως μὲν δή οὗτος. ΚΟΙΡΑΝΕΩΝ. διατάσσων, δὲ ἡρχόμενος ἡδὲ τὸ τοῦ κοιράνου ἔργον ἐπιτελῶν. ΔΙΕΠΕ. διέταξεν. διώκει. ΕΠΕΣΣΕΥΟΝΤΟ. ἤρχοντο. ἐπὶ πολὺ βουν. ΑΛΑΛΗΤΩι. σὺν βοῇ φ. ΝΕΩΝ ΑΠΟ. ἀπὸ τῶν πλοίων. ΗΧΗι. μετὰ ἤχου ἢ ἱμάντος. ΒΡΕΜΕΤΑΙ ἠχεῖ. πτυπεῖ. ΣΜΑΡΑΓΕΙ. ἠχεῖ. ΩΣ ΟΤΕ ΚΥΜΑ. ἢ τὸ πρὸς τὴν κίνησιν. τὸν δὲ βρόμον πρὸς τὴν ἀπήχησιν. ΘΕΡΣΙΤΗΣ ΔΕ ΤΙ ΜΟΥΝΟΣ. ὁ δὲ θερσίτης μόνον. οἱ νεῖ ἀμιλήσαντι δὲ ἀρτέμιδος θυσιῶν ἵππα ἢ βοῦς ὀργαθῆσα, ἐπ' μφὶ τὴν πόλιν σὺν ἄγγιον, ἐφ' ὧν ἦλθι στρατιὰ τῶν ἀρίστων δὲ ἑλλάδ. ἐπιδὴ ἠλυμαίνετο τὴν χώραν ὥς φησιν αὐτὸς ὁ ποιητὴς οὐ τῇ. ι. μεθ' ὧν ἦν ἡ ὁ θερσίτης. ὃς διελαθὼν κατέλιφε τὴν παραφυλακὴν ἐφ' ἧς ἦν, καὶ ἀπῆλθεν ἐπί τινα τόπον ὑψηλὸν τὴν σωτηρίαν ὑπολύμενος. ὀνειδίζομεν δὲ ὑπὸ μιλιάγρου ἐδιώκετο. ἢ διὰ τὰ κρημνῶν πισὼν τοιοῦτος ἐγένετο, οἱ ὀρόμπρος αὐτὸν παρίστησιν. ἱστορεῖ δὲ φορίων. οἰνεὺς ἢ ἄγει. ἀδελφοὶ ὡς λέγει ὁ ποιητὴς οὐ τῇ. β. ἀλλ' ὁμοῦ οἰνεὺς ἦν πατὴρ μιλιάγρου. ὁ δὲ ἄγει θερσίτου. μήτηρ δὲ θερσίτου δία. ἐξήτασται δὲ διὰ ποίαν αἰτίαν ὁ θερσίτης ἐγράτυσεν εἰς ῥοίαν τοιοῦτον ὤρ.

τ῾ ὧμ. ῥητέον δυ ὅτι ἤτοι φασιώδης ὢν, δυη ἀπειλέφθη Α
ζαι ἢ παρίδ῾. ἢ ὅτι κατιτωσόδιον παρῆκτῆ, πρὸς τὸ
ἐκ σκυθρωποῦ πρὸς ἱλαρότητα τὰς ψυχὰς ἀναπαλίσα
σθαι τῶν ἑλλήνων. ὥσπερ ἐλπίζαι τὴ ἥφαιστ῾ γίλωτ῾
χάριν παρὰ τοῖς θεοῖς οὐ τῇ α. λαμβάνετῆ δὲ πᾶν ἐπαισό
διον τῷ ποιητῇ. ἢ πιθανότητ῾ ἵνεκεν. ἢ χρέας. ὥσπερ τὴ
τοῦ νῦμ. ἢ κόσμησιν ὑψώσεως χάριν. ΑΜΕΤΡΟΕΠΗΣ Β
ἄμετρ῾ ἢ τῷ λίγειν. φλύαρ῾. ΕΚΟΛΩΙΑ. ἰθορύβη
ΟΣ. ὅστις. ΗΙΣΙ. ταῖς ἰδίαις. ταῖς ἑαυτ῾. ΗΙΔΗΙ.
ἤλει. ἐπίσατο. ΜΑΥ. μάτην. ΟΥ ΚΑΤΑ ΚΟΣ
ΜΟΝ. οὐ κατὰ τὸ πρέπον, ἀτάκτως. τὸ δ᾽ ἴσιμ οὐ δικαίως
ἐφιλονείκει τοῖς βασιλεῦσιν. ΑΛΛΟ ΤΙ ΟΙ ΕΙΣΑΙ
ΤΟ ΓΕΛΟΙΟΝ ΑΡΓΕΙΟΙΣΙΝ ΕΜΜΕΝΑΙ. ἀλ Γ
λ᾽ ὅπερ ἂν ἐνόμιζεν ὁ θερσίτης ἀναγκαῖον εἶναι, τοῦτο γέλω
τ῾ πολλοῦ ἄξιον ἐφάνετο τοῖς ἕλλησιν. ΑΙΣΧΙΣ
ΤΟΣ. αἰσχρότατ῾. ΥΠΟ ΙΛΙΟΝ. ἐς τὴν ἴλιον.
ΦΟΛΚΟΣ. τὰς ὄψεις διάστροφ῾. στραβός. ΕΗΝ. ἦν.
ὑπῆρχ. ΧΩΛΟΣ ΔΕΤΕΡΟΝ ΠΟΔΑ. χωλὸς δὲ
ἦν τῷ ἑνὶ τῶν ποδῶν. ΤΩ ΔΕ ΟΙ ΩΜΩ διδὲ ὦμοι Δ
αὐτῶ. ΚΥΡΤΩ. κυρτοὶ συνικῶς. ΣΥΝΟΧΩΚΟ
ΤΕ. συμπεπωλώτθ. σωκχυλῶσι. ΑΥΤΑΡ ΥΠΕΡ
ΘΕΝ. ὑπεράνωθεν δέ. ΦΟΞΟΣ. ὀξυκέφαλ῾. ΥΕΔΝΗ.
ἀραιὰ. μαλαρά. ΕΠΕΝΗΝΟΘΕΝ. ἐπλήσθη. ἐπέκειτο.
ΛΑΧΝΗ. ῥίχωσις. ἰσέον δὲ ὅτι ὁ ἀχιλλεὺς αὐτὸν ἀναι
ρεῖ, ὡς ἱστορεῖ Διόνυσ῾ ὁ ποιητὴς οὐ τοῖς μὲν ὅμηρον. φησὶ Ε
γὰρ ὅτι οὐτῇ ἀμαζονομαχίᾳ ἀνελὼν ἀχιλλεὺς πουθεσίλει
αν τὴν τῶν ἀμαζόνων βασίλειαν, εἶτα ἰδὼν τὸ σῶμα αὐ
τῆς σὺν ῥιπὶ εἰς πάνυ, εἰς ἔρωτα ἦλθε τῆς ὡραιότητος. βε
βίας τε ἐφιέμενον ἀπὸ τοῦ βανάτου αὐτῆς. ὁρῶν δὲ δυσφορῦντα
αὐτὸν θερσίτης. συνήθως ἰδιοδραγικῶ ὦ ὀργισθεὶς ὁ ἥρως, ῥόν
. . . . . .

Α βω παίσας αὐτὸν αὐαιρεῖ. παραυλίκα τῶν ὀδόντων αὐτῦ καὶ τινὶ χθεντων χαμαί. ΕΧΘΙΣΤΟΣ. ἰχθρόταλος. ΗΔΕ. ἡ σύνδεσμολικός. μος. ΗΔΟΔΥΣΗΙ. ἡ τῷ ὀδυσεῖ. ΤΟ ΓΑΡ ΝΕΙΚΕΙΕΣΚΕ. τούτως γὰ πρότερον ἐλοιδόρει ἡ κακολογῶν εἶθ' οὕτως τὸν ἀγαμέμνονα. ΟΞΕΑ. μεγάλα. ΚΕΚΛΗΓΩΣ. λιπαραγὼς. ἰκβοῶν. ΛΕΓΕ. ἔλεγον. ΟΝΕΙΔΕΑ Β ὀνείδη. ὕβρεις. ΤΩι ΔΑΡ. τούτῳ δὲ δή. ΕΚΠΑΓΛΩΣ. ἐκπληκτικῶς. μεγάλως. ΚΟΤΕΟΝΤΟ. ὠργίζοντο. ΝΕΜΕΣΣΗΘΕΝ. ἐμέμφοντο. ΜΑΚΡΑ ΒΟΩΝ. ἀνατιταμένως ἡ δὲ μεγάλως ἱεράζων. ΝΕΙΚΕΕ ἡ νεκρολόγει. ΤΕΟ. τίνος. ΕΠΙΜΕΜΦΕΑΙ. ἐπιμέμφη. ἐπιζητεῖς. ΧΑΤΙΖΕΙΣ. χρήζεις. ΠΛΕΙΑΙ. πλήρεις. γέμουσαι. διατὶ δὲ ὑπερβατὸν ἄλλως ὕλλω τὸ χαλκοῦ Γ ἐμνήσθη. ὅτι παρὰ τοῖς ἀρχαίοις σφόδρα τίμιος ἦν ὁ χαλκὸς. ΚΛΙΣΙΑΙ. σκηναί. ΕΞΑΙΡΕΤΟΙ. ἐνεδεῖς. ἐπήλικτοι. ἀὶ κατὰ τιμὴν διοίσεσθαι ἀπὸ τῶν ἀγχιμάτων. ΠΡΩΤΙΣΤΩι. πρώτῳ ὡς βασιλεῖ. Ε ΠΙΔΕΥΕΑΙ. ὀφείλης ἢ. χρήζεις. ΟΝ ΚΕ ΤΙΣ ΟΙΣΕΙ. ὄντινά σοι Δ ἄν τις ἑλομένοις τῶν ἡμῶν ἀπὸ δὴ ἰλίου. ΥΙΟΣ ΑΠΟΙΝΑ πρόσληψίν τὴν ὑπὲρ πρόθεσιν ἢ νῦ ὑπὲρ ὑοῦ σῶρα. Η ΑΛΛΟΣ ΑΧΑΙΩΝ. ἀπὸ κοινοῦ τὸ δίδοας ἀγάγη. ΝΕΗΝ. πατέρων. ΜΙΣΓΕΑΙ. μίσγη. ΦΙΛΟΤΗΤΙ. συνουσία. ΗΝ ΤΑΥΤΟΣ. ἔντινα αὐτός. ΑΠΟ ΝΟΣΦΙ. ἄποθεν καὶ χωρὶς μόνου. ΚΑΤΙΣΕ ΧΕΑΙ. κατίσχης. ΟΥ ΜΕΝ ΕΟΙΚΕΝ. οὐμενοῦν ὄνπερ ἔπτε. ΑΡΧΟΝ ΕΟΝΤΑ. ἡγεμόνα ὄντα. ΚΑΚΩΝ 18 ΕΠΙΒΑΣΚΕΜΕΝ. ἐπαῶν ἐπιβαίνειν. ἐπὶ κοῖς ἐμβιβάζειν. Ω ΠΕΠΟΝΕΣ. ἔκλυτοι καὶ ἀσθενεῖς. ὅτε δὲ ἄλλοτε οἱ, ἢ μεταφορὰ ἀπὸ τῶν ἀκμαίων τιτώνων. ἃ τῇ μὲν γόνασι ὄγκῳ ἄλλα, τῇ δὲ βίᾳ καὶ τῇ ἀφῇ μαλακὰ καὶ οὐδέποτα. ΚΑΚ.

τα. ΚΑΚ' ἘΛΕΓΧΕΑ. λεκὰ ὀνείδη. ΑΧΑΙΙΔΕΣ Α
ΟΥΚ ΕΤ ΑΧΑΙΟΙ. γυναῖκες οὐκέτι ἄνδρες. ΝΕΩ
ΜΕΘΑ. πορευώμεθα. ΤΟΝ ΔΕ ΔΕΩΜΕΝ. τοῦτον δέ. ὅ
ἐστι τὸν ἀγαμέμνονα. λιταλείψωμεν. ΓΕΡΑ ΠΕΣΣΕ
ΜΕΝ. τὰ γέρα, ὅ ἐστι τὰς τιμὰς κατέχειν. ἡ μεταφορὰ ἀ
πὸ τῶν γαστρὶ σιτίων. ἡκει γὰρ αὐτὰ ἂν μὴ κράτηθῇ τὸν ὡ
ρισμένον χρόνον, ἀσθενούσης δι' ἀκαλουθίαν δυνάμεως, οὐ Β
πίπτει. ΟΦΡΑΙΔΗΤΑΙ. ὅπως μάθῃ. ΗΡΑ ΤΙ ΟΥΧ
ΗΜΕΙΣ. ἆρα τί αὐτῷ ἢ ἡμεῖς. ΠΡΟΣΑΜΥΝΟΜΕΝ.
προσβοηθοῦμεν. ΗΕ ΚΑΙ ΟΥΚΙ. ἢ ἡκει οὐδαμῶς. ΕΟ. ἴσω
τω. ΜΕΓ ΑΜΕΙΝΟΝΑ. μεγάλως βελτίονα. ΦΩΤΑ.
αὖθρα. ΑΛΛΑ ΜΑΛ ΟΥΚ ΑΧΙΛΗΙ ΧΟΛΟΣ
ΦΡΕΣΙΝ. ἀλλὰ πάνυ ὁ ἀχιλλεὺς ἄχολος ἡκει ἀόργητος Γ
ὑπάρχει. ΜΕΘΗΜΩΝ. ἀμελής. ΗΝΙΠΑΠΕΝ. ἑκάκο
λόγησεν. ἐπέπληξε. ΝΕΙΚΕΙΩΝ. ὀνειδίζων. ΑΚΡΙΤΟ
ΜΥΘΕ. ἄκριτε περὶ τοὺς λόγους ἡκει ἄτακτε. τοῦτο δέ φη
σι σαρκαστικῶς. ΛΙΓΥΣ ΠΕΡ ΕΩΝ. ἠτοι ἀδύς ὑπάρχ
ων. ΑΓΟΡΗΤΗΣ. δημηγόρος. ΙΣΧΕΟ. πίπαυσο. ΜΗ
ΔΕΘΕΛΕ. μὴ βούλῃ. ΟΙΟΣ. μόνος. ΕΡΙΖΕΜΕ Δ
ΝΑΙ. ἐρίζειν. φιλονικεῖν. ΣΕΟ. σοῦ. ἐπέκτασις ὁ τόπος.
ΧΕΡΕΙΟΤΕΡΟΝ. χείρονα. ΒΡΟΤΟΝ. φθαρτὸν ἄνθρω
πον. βρότος δι' παροξυτόνως τὸ μετὰ πόνους μιγὲν τῷ αὐ
θρώπῳ αἷμα. ΦΗΜΙ. ὑπονοῶ. ΕΜΜΕΝΑΙ. εἶναι. ΟΣΣΟΙ
ὅσοι. ΑΜΑΤΡΕΙΔΗΣΙΝ. ἅμα τοῖς ἀτρίοις πασιν. εἴ
τοι δὲ ἦσαν κατὰ μηδὲν σύνυθλοι, ἀτρόπως, ἢ ἀτρίοις πᾶσι Ε
λοι τὸ πίστος. τῇ δ' ἀληθείᾳ πλειοτέρους. ὥς φασιν ἄλ
λοι τε πολλοὶ καὶ πορφύριος οὐ τοῖς ῥητόμασιν. ἀλλ' ἐπει
δὴ πλειοτέρους νίους τιλοῦτ' μηδεὶς κατελέιφας μνήμης
ἄξιον, νίοι πάνυ ἀναῤῥαφοῦσθ ὑπὸ ἀτρίους, αὖτ' πᾶσθαι
ἐκλήθησαν. ΤΩι. διὸ δή. ΑΝΑ ΣΤΟΜΕΧΩΝ. διὰ τό

Α ματ& ἔχω λοιδορῶν. διὸ οὐκ ἐχρῆν ἀέλπτου βασιλέως ἢ
πὶ σώματ& ἔχειν ἢ λοιδορεῖν. ΑΓΟΡΕΥΟΙΣ. λίγοις.
ΚΑΙ ΣΦΙΝ. ἢ αὐτοῖς. ΠΡΟΦΕΡΟΙΣ. ὀνειδίζοις. ΝΟΣ
ΤΟΝ ΤΕ ΦΥΛΑΣΣΟΙΣ. ἢ ἐπιτηροίης ἢ καιρὸν ἢ ἀ
πόπλω. ΟΥ ΔΕ ΤΙ ΠΩ. οὐδαμῶς δὲ. ΙΔΜΕΝ. ἐπισάμε
θα. ΟΙΟΣ. οἷοι&. ΝΟΟΣ. νοῦς. ΕΣΤΑΙ. γενήσετ). ΤΑ
Β ΔΕ ΕΡΓΑ. τὰ παρόντα ἔργα. Η ΕΥ. ἢ καλῶς. ΗΕ ΚΑ-
ΚΩΣ. ἢ ἰκανῶς. ΝΟΣ ΤΗΣΟΜΕΝ. αὐαζούξομεν. ὑποσ-
τρίψομεν. ΗΣ ΑΙ ΟΝΕΙΔΙΖΩΝ. καθίζῃ ὑβρίζων. ΟΤΙ
ΟΙ. ὅτι αὐτῷ. ΜΑΛΛΑ ΠΟΛΛΑ. πάνυ πολλά. ΔΙΔΟΥ
ΣΙ. διδόασι. ΚΕΡΤΟΜΕΩΝ. ἱρεβίζων. χλευάζων. Ε-
ΡΕΩ. ἐρῶ, λέξω. ΤΟΔΕ ΚΑΙ ΤΕΤΕΛΕΣΜΕΝΟΝ
Γ ΕΣΤΑΙ. ὅπερ ἢ γενήσετ). ΕΙ ΚΕΤΙ ΣΕ. ἐαὐτί σι.
ΑΦΡΑΙΝΟΝΤΑ. ἄφρονα ὄντα. αὐονταίνοντα. ΚΙΧΗ
ΣΟΜΑΙ. καταλάβω. ΩΣ ΝΥ ΠΕΡ ΩΔΕ. ἵντως νῦν
νῦν. Ω ΜΟΙ ΣΙ. τοῖς ἄμοις. ΚΑΡΗ. λιφαλέ. ΕΠΗΕΙ. ἐπή-
ἐπιμελέι. ΚΕΚΛΗΜΕΝΟΣ ΕΙΗΝ. κληθείην ἢ λοιποῦ
αὐτὶ ἢ τιλυτήσαντ& ἢ τιλεμάχου. τίὼ γ' ὀδυτίραυ ἀ
Δ ρᾶμ' ἰατ' αὐτο ἢ παιδὸς ἐποίησα ἄ. ΑΠΟΜΕΝ ΦΙΛΑ
ΕΙΜΑΤΑ ΔΥΣΩ. ἐμὲ ἀποδύσωσι τὰ προσφιλῆ ἱμά-
τια. ΧΑΛΑΙΝΑΝ ΤΗΔΕ ΧΙΤΩΝΑ. τίνι χλανίδα
ἢ ἢ χιτῶνα. ΤΑ ΤΑΙΔΩ ΑΜΦΙΚΑΛΥΠΤΕΙ. ἅτε
νά σοι τὰ αἰδοῖα περικαλύπτ. ΑΥΤΟΝ ΔΕ. αὐτὶ το
σὲι. ΑΦΗΣΩ. ἀπολύσω. ἀποπέμψω. ΠΕΠΛΗΓΩΣ.
Ε πλήξας. διὰ ποίαν αἰτίαν ἐπὼν ἐπιτιτὸ ἀφρονταίνοντα κιχ
ήσομαι ἢ τὰ ἐξῆς. ΣΥΘΙΣ λίγξσκ πρφ δ' ἐμτ ἀφρένον ἢ λὶ
ἢ ἄμω πλῆξι. λίξομεν δὲ ἡμᾶς ὅτι ἐπίζο τ κνικαῦτα ἀποδύ
σιν ἢ οὕτως τύπτειν γυμνὸν. νῦν δὲ ἁπλῶς ἐπλήξεν. ΑΓΟ
ΡΗΘΕΝ. ἀπὸ ℓ ἀγορᾶς ὅ ἐστι ℓ ἐκκλησίας. ΑΕΙΚΕΣ
ΣΙΝ. αἰσχικαῖς. ΠΛΗΓΗΣΙ. πλαγαῖς. ΩΣ ΑΡΕΦΗ.

οὕτω

οὕτως δὴ ἔπι. ΜΕΤΑΦΡΕΝΟΝ. ἢ μεταξὺ τῶν ὤμων A
τόπον. Η ΔΕ ΚΑΙ ΩΜΩ. καὶ τὸς ὦμος δυϊκῶς. ΟΔΙ
ΔΝΩΘΗ. οὗτος δὲ ἀπὸ τ' ὀδύνης συνεκάμφθη. ΘΑΛΕ
ΡΟΝ. θερμὸν, ἀκμαῖον. ΕΚΠΕΣΕΝ. ἐξέπεσε. ΣΜΩ-
ΔΙΞ. ὁ ἐκ πλυγῆς ὕφασμος μώλωψ. ΑΙΜΑΤΟΕΣΣΑ.
αἱματώδης. ΕΞΥΠΑΝΕΣΤΗ. ἐβανίσθη ἀπὸ δὲ πλυ-
γῆς δὲ χρυσῆς ῥάβδα ΟΔΑΡΕΖΕΤΟ. ὁ δὲ θρασίτης φη B
σὶν ἐκαθίσθη ἄκων. ΤΑΡΒΗΣΕΝ Τ.Ε. καὶ ἐφοβήθη.
ΑΛΓΗΣΑΣ. ὀδυνηθεὶς. ΑΧΡΕΙΟΝ ΙΔΩΝ. ἀπρε-
πὲς ἰματισάμενος τὸ πρόσωπον. ΑΠΕΜΟΡΞΑΤΟ.
ἀπεμάξατο, ἀπεψήσατο. ΟΙ ΔΕ ΚΑΙ ΑΥΤΟΙ. οἱ δὲ
ἕλληνες, σπάνιον δὲ μετὰ τὸ ἀχνύμενοί πω, ἔπειτα ἀπὸ
ἄλλης ἀρχῆς ἀναγνωσέον ἴν' ᾖ. οἱ δ' ἕλληνες δή τοι νῦν Γ
πούμενοι διὰ τὴν ἀναβολὴν τ' ἔπ' τ' οἶκον ἀνακομίζης, ἃ
δ' ὡς ἐγίλασαν ἔπ' τῇ ὄψῃ τ' θρασίτε. ΩΔΕ ΔΕ. οὕτως
δή. ΕΠΕΣΚΕΝ. ἔπεσε. ΙΔΩΝ ΕΣΠΛΗΣΙΟΝ ΑΛ
ΛΟΝ. ἄλλον τινὰ τὸν ἐγγὺς παρεστῶτα βλίψας. ΗΔΗ
ἀληθῶς δή. ΜΥΡΙΑ. πάμπολλα ἀγαθὰ. ΕΟΡΓΕΝ.
ἔργασαι. ΒΟΥΛΑΣ. συμβουλίας, γνώμας. ΚΟΡΥΣ- Δ
ΣΩΝ. καθοπλίζω, παρασκευάζω, αἰολικὸν ἀπὸ τ' κο
ρύτης. ΕΡΕΞΕΝ. ἔπραξε. ΛΩΒΗΤΗΡΑ. ὑβριστὴ.
ΕΠΕΣΒΟΛΟΝ. ἐπίασεν ὅ ἐστι λόγοις βάλλοντα λοίδορον
ΕΣΧΕΝ. ἐπίσχον, ἐκώλυσον. ΑΓΟΡΑΩΝ. δημηγο-
ρῶν, φλυαρῶν. ΟΥ ΘΗΝ ΜΙΝ. οὐκ ἂν δὴ ἐπὶ πολὺ αὖτ
ΠΑΛΙΝ ΑΥΤΙΣ. ἐκ δὲ τίρα πάλιν. ΑΝΗΣΕΙ. αὖε E
πέσῃ, παρορμήσῃ. ΘΥΜΟΣ. ψυχὴ, νῦν δὲ ἄλογος
προθυμία καὶ ὁρμή. ΑΓΗΝΩΡ. αὐθάδης, ὑβρι-
στὴς, καὶ θρασὺς, ἴσι δὲ ὅτι δηλοῖ καὶ τὸν αὐθρέωπον.
Ν ΕΙ ΚΕΙ ΕΙ Ν. ἀκολογέω, ὑβρίζω. ΟΝΕΙ-
ΔΕΙΟΙΣ. ἀναιδεσικοῖς, ὑβριστικοῖς. ΩΣ ΦΑΣΑΝ.

Α οὕτως εἶπον. Η ΠΛΗΘΥΣ. τὸ πλῆθος. ΑΝΑ ΔΟΠΟΤΟΛΙΠΟΡΘΟΣ ΟΔΥΣΣΕΥΣ ΕΣΤΙ. τὸ ἐξῆς. αὐὸ φησὶ ὁ τὰς πόλεις πορθῶν. ὁ πολυμηκῶς διακείμενος & ὀδυσσεύς. ἵν' ᾖ ἀσφαλέστερον ὁ ῥόπος. προκατασκευάσας δὲ αὐτῷ ὁ ποιητὴς τὴν ἰλιάδα πόρθησιν. ὡς ἐψεύσατο, τὸ ὀδυσσέως ἐπινοήσαντος & πεῖσαι τὸν τοῦ ἀτρέως ἵππον κατασκευῆναι, οὗ ἐσα
Β χθέντος, ἐπορθήθη ἡ ἴλιος ὡς ηκει ἀλλαχόθι δηλοῦται ποιήσεως φησι. σὴν δ' ἄλοχον ἐσῦ πειράμενος αἴανκτος. ΠΑΡΑ ΔΕ, παρ' αὐτὸν δηλ. ΕΙΔΟΜΕΝΗ. ὁμοιωθεῖσα. ΑΝΩΓΕΙ. ἀνέλυσεν. ΩΣ. ὅπως, ἵνα. ΑΜΑ. ὁμοῦ, κατὰ τὸ αὐτό. ΕΠΙΦΡΑΣΑΙΑΤΟ. ἐπισκέψαντο, ἐπινοήσωσιν. ΝΥΝ ΔΗ ΣΕ ΑΝΑΞ. ὧδε τοῦ παρόντος & δηλοῦν
Γ ται τῷ βασιλεῦ. ΕΛΕΓΧΙΣΤΟΝ. ἐπονείδιστον, ἐφύβρισμον. ΘΕΜΕΝΑΙ. ποιῆσαι. ΜΕΡΟΠΕΣΣΙ ΒΡΟΤΟΙΣΙΝ. ἀνθρώποις τοῖς μεμερισμένοις ηκει ἀναθρούντες τὴν φωνὴν ὡς πρὸς σύγκρισιν τῶν ἄλλων ζώων. ΟΥΔΕ ΤΟΙ. οὐδαμῶς δέ σοι. ΕΚΤΕΛΕΟΥΣΙΝ. ἐκτελοῦσι, πληροῦσιν. ΥΠΟΣΧΕΣΙΝ. σώταξιν. ΗΝ ΠΕΡ
Δ ΥΠΕΣΤΑΝ. ἤν τινα ὑπίσχοντόσοι. ΕΝΘΑΔΕ. ἐνταῦθα. ΣΤΕΙΧΟΝΤΕΣ. οἱ τάξει παραγινόμενοι. ΙΠΠΟΒΟΤΟΙΟ. ἱπποβόσιο, ἀπὸ δὲ ἀγνόου & ἵππων ὠνομάσθη τὸ ἄργος ἱππόβοτον. ΕΥΤΕΙΧΕΟΝ. καλῶς τετειχισμένην. ΝΕΑΡΟΙ. μικροὶ. ΧΗΡΑΙ ΤΕ ΓΥΝΑΙΚΕΣ. ἔρημοι ηκεὶ ἀνδρῶν μονωθεῖσαι. ΑΛΛΗΛΟΙ
Ε ΣΙΝ ΟΔΥΡΟΝΤΑΙ. πρὸς ἀλλήλας θρηνοῦσιν. ΟΙΚΟΝΔΕ ΝΕΕΣΘΑΙ. εἰς τὸν οἶκον πορεύεσθαι. ΗΜΗΝ ΚΑΙ ΠΟΝΟΣ ΕΣΤΙΝ. ἴσι δὲ ὄντως ηκει πόνος. ΑΝΙΘΕΝΤΑ. τὴν ψυχὴν ἐδυνηθύντα, λυπηθέντα. ΚΑΙ ΓΑΡ ΤΙΣΘΕΝΑ ΜΗΝΑΜΕΝΩΝ ΑΠΟ ΗΣ ΑΛΟΧΟΙΟ. πόθῳ φησὶ δὲ ἰδίας γυναικὸς.

γενέσθαι

σιμῆον ἦ, εἰς τὸ ἀσχαλάα. ἔπειτα ἀπὸ ἄλλης ἀρχῆς αὐαγνωσίον. ΗΣ. ἰδίας. ΑΛΟΧΟΙΟ. γαμετῆς. ΑΣΧΑΛΑΑ. λυπεῖται, ἀσχάλλει. ΠΟΛΥΖΥΓΩι. πολυκαθίεργω, ζυγὰ γὺ αἱ τ' ἐρασόντων καθίεραι. ΑΕΛΛΑΙ, αἱ τῶν ἀνέμων συτροφαί. ΧΕΙΜΕΡΙΑΙ. χειμερινά. ΕΙΛΕΩΣΙΝ. συνειλῶσι, συγκλείωσιν. ΟΡΙΝΟΜΕΝΗ. διεγειρομένη, ταραττομένη. ΕΙΝΑΤΟΣ. οὗατος. ΠΕ Β 19
ΡΙΤΡΟΠΕΩΝ. περιστρεφόμενος ὅ ἐστι περιερχόμενος. πάλιν ὧδε πίω ἀρχὴν μέλλων τελεῖσθαι. ΜΙΜΝΟΝΤΕΣΣΙ. μελήσειν. ΤΩι. διὸ δή. ΟΥ ΝΕΜΕΣΙΖΟΜΑΙ. οὐ μέμφομαι, εἰ οὕτω ῥαθυμοῦσιν. ΕΜΠΗΣ. ὅμως. ΑΙΣΧΡΟΝ. ἐφύβρισμα, ἀηδίς. ΔΗΡΟΝ. ὧδε πολὺν χρόνον. ΚΕΝΕΟΝ. κενόν, ἄπρακτον. ΤΛΗΤΕ, Γ
καρτερήσατε ἢ τοσοῦτον χρόνον ὀλίγον δή τινα. ΔΑΩΜΕΝ. μάθωμεν. ΕΙ ΕΤΕΟΝ. εἰ ἀληθές. ΗΕ ΚΑΙ ΟΥΚΙ. ἢ καὶ οὐ δαμῶς. ΙΔΜΕΝ. ἴσμεν, οἶδαμεν. ΜΑΡΤΥΡΟΙ. μάρτυρες. ΟΥΣ ΜΗ ΚΗΡΕΣ ΕΒΑΝ ΘΑΝΑΤΟΙΟ ΦΕΡΟΥΣΑΙ. ὅσας μὴ πρόκαιρα φέρουσαι ὁ θάνατος ἀπῆλθε. κῆρες γὰρ αἱ θανατηφόροι μοῖραι. ΧΘΙΖΑ ΤΕ ΚΑΙ ΠΡΟΙΖΑ. χθὲς καὶ πρώην ἰκανισμένην δὲ τὸν οὐκ ἐπὶ χρόνον, ἵνα μὴ διὰ βραδυτῆτος πλέον ποιήσῃ ἀγωνιᾶσαι τοὺς Ἕλληνας. ΑΥΛΙΔΑ. αὐλὶς πόλις Βοιωτίας κεκλημένη ἀπὸ τοῦ αὐτόθι αὐλισθῆναι ὅ ἐστιν ἀθροισθῆναι τὸν ἑλληνικὸν στρατόν. ΗΓΕΡΕΘΟΝΤΟ. συνηθροίζοντο. ΑΜΦΙ ΔΕ ΚΡΗΝΗΝ. περὶ τὴν λιμνην. ΕΡΔΟΜΕΝ. ἐπιτελοῦμεν, ἐθύομεν. ΤΕΛΕΙΕΣΣΑΣ ΕΚΑΤΟΜΒΑΣ. τελείας θυσίας. ΠΛΑΤΑΝΙΣΤΩι. ὑπὸ τῇ ἱερᾷ πλατάνῳ. τῇ μὲν τοι τάσει αὐαγνωσίον ὡς λυπαρίαν. ΡΕΕΝ. ἔῤῥεε, ἐφέρετο. ΑΓΛΑΟΝ. καλόν. ΕΝΘΕΦΑΝΗ. ὅπου ἡμῖν ὤφθη ὁ δράκων, ἢ

Α τινὸς δράκοντος τὸ ὄνομα ὁ πορφύριος οὐ τοῖς ἑπτάμασί φησι λέγων αὐτὸν θήνιον. οὕτως γὰρ ἱστόρηται διενοήσατο δὲ τῷ ἑ τῶν ἀπόρων. ΣΗΜΑ. σημεῖον ὑμῖν ἔφανε ὑπὸ λιὸς πυμφθὲν. ΝΩΤΑ ΔΑΦΟΙΝΟΣ. πυῤῥὸς κατὰ τὰ νῶτα. ἢ ὁ ἄγαν φόνιος. ΣΜΕΡΔΑΛΕΟΣ. καταπληκτικὸς, φοβερός. ΟΛΥΜΠΙΟΣ. ὀβλὸς.

Β ΗΚΕΝ. ἀφῆκεν. ἔπεμψε. ΦΟΩΣΔΕ. εἰς τὸ φῶς. ΒΩΜΟΥΔΥΠΑΙΞΑΣ. τὸν βωμὸν ὑπεξεπλήρωσε. ΠΡΟΣΡΑ ΠΛΑΤΑΝΙΣΤΟΝ. πρὸς τῷ πλάτανον δύο. ΟΡΟΥΣΕΝ. ἀνώρμησεν, ἀνῆλθεν. ΕΣΑΝ. ἦσαν, ὑπῆρχον. ΣΤΡΟΥΘΟΙΟ. στρουθοῦ. ΝΕΟΣΣΟΙ. νεῶσσοι. νηπιά. μικρά. ΟΖΩι.

Γ ΕΠΑΚΡΟΤΑΤΩι. ἐπὶ τῷ ὑψηλῷ ἀκροκλάδῳ. ΠΕΤΑΛΟΙΣ. φύλλοις. ΥΠΟ ΠΕΠΤΗΩΤΕΣ. ὑποπεπωκότες, ὑποκάμνοι. ΕΛΕΞΗΝΑ. ἑλικοειδῆ, οἱ κρῶς. ΚΑΤΗΣΘΙΕ. διατηνάλισκε, κατέφαγε. ΤΕΤΡΗΓΩΤΑΣ. ῥήξοντας, ῥάξοντας, πᾶσαν τινα φωλεὸν ἀποστιλοῦντας.

Δ ΑΜΦΕΠΟΤΑΤΟ. περὶ αὐτοὺς ἱπτατο. ΠΤΕΡΥΓΟΣ. παροξυντόνως, καὶ ὁ μὲν ἰκτῖνος θέλει προπαροξυντόνως ὡς ὄρτυγος. ἀλλ' ἐπεὶ δὲ οὕτως λοκὲα γίνεται τῷ ἀφιπτάμενος, πειθόμεθα αὐτῷ, ὡς παῦρα ἀρίστῳ γραμματικῷ. ΛΑΒΕΝ. ἁρπάσας. ΑΜΦΙΑΧΥΙΑΝ. περὶ τὰ τέκνα αὐτῆς θρηνοῦσαν. ΚΑΤΑ ΤΕΚΝΕΦΑΓΕ. διατέφαγε τὰ τέκνα, καὶ

Ε αὐτῶν τῶν σπλάγχνων ἐπλήσθη. ΤΟΝ ΜΕΝ. τοῦτον μὲν. ΑΡΙΣΗΛΟΝ. διάδηλον, φανερόν. ΘΗΚΕΝ. ἔθηκεν, ἐποίησε. ΘΕΟΣ ΟΣΠΕΡ ΕΦΗΝΕ. ὅστις αὐτῶν φανῆναι ἐποίησεν ὀβελός. ΛΑΑΝ. λίθον. ΕΣΤΗΚΟΤΕΣ. ἑστηκότες. ΘΑΥΜΑΖΟΜΕΝ. ἐκπλησσόμεθα. ΟΙΟΝ ΕΤΥΧΟΗ.

οἷον

οἷον ἐγένετο. ΩΣ ΟΥΝ ΔΕΙΝΑ. ὡς οὖν φοβερά. Α
ΠΕΛΩΡΑ. μέγιστα σημεῖα. ΘΕΟΠΡΟΠΕΩΝ.
μαντευόμενοι. ΤΙΠΤΕ, τί δή ποτε. ΑΝΕΩ. ἄφω
νοι, κατὰ σίρησιν τοῦ ἰωτᾶς, ὅ ἐστι δ' φωνῆς. ΗΜΙΝ ΜΕΝ.
ἡμῖν μὲν οὖν. ΤΕΡΑΣ. σημεῖον. ΟΥΙΜΟΝ.
βραδυχρόνιον. ΟΥΙΤΕΛΕΣΤΟΝ. ἐφικτὸν καὶ βρα
δέως τελεσθησόμενον. Ο ΟΥ ΚΛΕΟΣ. οὗτινος ἡ δό Β
ξα. ΟΥΠΟΤΕ. οὐδέποτε, ἢ οὐκ αὖ ἡ δόξα ἀπολεῖται.
ΩΣ ΗΜΕΙΣ. οὕτως ἡμεῖς. ΠΤΟΛΕΜΙΞΟΜΕΝ.
πολεμήσομεν. ΑΥΘΙ. αὐτόθι τῇ ἰλίῳ. ΤΩι ΔΕ
ΚΑΤΩι ΔΕ. τροσλαπτέον οὕτως. ΑΙΡΗΣΟΜΕΝ.
πορθήσομεν. ΚΕΙΝΟΣ. ἐκεῖνος. ΤΑ ΔΗ ΝΥΝ. ταῦτα
ἐπὶ τ παρόντος. ΤΕΛΕΙΤΑΙ. τελεσθῆται, πληρωθῇ. Γ
ΜΙΜΝΕΤΕ. μόνιτι. ΕΙΣΟΚΕΝ. ἕως αὖ. ΑΣΤΥ.
πόλιν. ΩΣ ΕΦΑΤΑΡΓΕΙΟΙ ΔΕ ΜΕΓΙΑΧΟΝ.
καὶ τὰ ἑξῆς, τὸ ἑξῆς οὕτως. ὡς ἔφατ' ἀργεῖοι δὲ μίγ' ἴαχον
μῦθον ἐπαινήσαντες ὀτρυνῆος θείοιο. ΑΜΦΙ ΔΕ
ΝΗΕΣ. ἀμφιτέρωθεν αἱ νῆες ὅ ἐστι πᾶσαι. ΣΜΕΡ Δ
ΔΑΛΕΟΝ. σμερδνὸν, κατατλητικὸν, φοβερόν.
ΚΟΝΑΒΗΣΑΝ. ἤχησαν. ΑΥΣΑΝΤΩΝ. βοη
σάντων. ΕΠΑΙΝΗΣΑΝΤΕΣ. ἐπαινέσαντες.
ΟΔΥΣΣΗΟΣ ΘΕΙΟΙΟ. τοῦ θείου καὶ θαυμαστοῦ ὀ
δυσέως. ΓΕΡΗΝΙΟΣ. οὔτιμος παρὰ τὸ γέρας, ἢ
ὁ οὐ γερήνῃ κώμῃ ῥαφείς. ΙΠΠΟΤΑ. αὐτὶ τοῦ ἱπ
πικός, νῦν δὲ φυγάς, ὁ γὰρ ποιητὴς νῦν αὐτὸ τ φυγάδος Ε
μίχρηται, ἐρακλῆς ἐπισρατεύσας τῇ πύλῳ διὰ τὸ μὴ λα
βρθῆναι αὐτὸν ὑπὸ τοῦ κηλίως τὸν ἱππότην φόνον, καὶ διὰ τῶν
τῶν κηλίδων ἀφροσύνην, πολὺς ἦν πορθῶν τὴν πόλιν,
καὶ ἐφ' ὅσον μὲν περικλύζων ὁ κηλίως ἦν, δυσάλω
τος ἦν ἡ πόλις, ἀμφίβιος γὰρ ἐγένετο ἐκεῖνος, καὶ διὰ
γενόμενον

Α γονέωνον αὐτὸν μίλιακαν, καὶ τὰ τὰ ἀδὲ τὸ ἡρακλέος ἅρματος, ἀθηνᾶ ἐκάσατο ἡρακλεῖ, ἐποίησεν ἀναιρεθῆναι. τότε νέσωρ οὐ γερήνιος ῥιφόμενος, πορφυρίωνος δὲ πύλου καὶ τῶν ἄλλων ἀδελφῶν αὐτὸν ἀναιρεθέντων, μόνος περιελείφθη. διὸ καὶ γερήνιος ὠνομάσθη. ἱστορεῖ ἡσίοδος ὁ ἱκαταλόγοις. ΕΟΙΚΟΤΕΣ. ὁμοιωμένοι

Β ΑΓΟΡΑΑΣΘΕ. ἐκκλησιάζετε, ἀγορεύετε. ΝΗΠΙΑ ΧΟΙΣ. νηπίοις ἴσα φρονοῦσι. ΟΙΣ ΟΥΤΙ. οἷς οὐδὲν. ΜΕΛΕΙ. διαφέρουσιν ἐξ. ΠΟΛΕΜΗΙΑ ΕΡΓΑ. πολεμικὰ ἔργα. ΠΟΥΔΗ. ἤτοι πῦ δὴ ἢ πῶς δή. ΣΥΝΘΕΣΙΑΙ. αἱ συνθῆκαι. ΟΡΚΙΑ. ὅρκοι. ΒΗΣΕΤΑΙ. αὐτὶ τοῦ ἔβησαν. ἐπορεύθησαν. ἢ αὐτὶ τοῦ ὡς ἐκπληρώσομεν τοὺς ὅρ

Γ κους οὓς ἐποιησάμεθα περὶ ἑλούνης. ΠΟΥ ΔΗ ΣΥΝΘΕ ΣΙΑΙ ΤΕ. ποῦ δὴ καὶ αἱ συνθῆκαι. τῶν δὲ ἑλλάδος ἀρίστων ὧδε μνησθέντα δὲ ἑλούνης παρόντων διὰ γόνυ καὶ μάλλος, τυνδάρεως ὁ πατὴρ αὐτῆς ὥς τινες φασὶ φυλακὸς μὲν μίαν ὁτιοῦν ἁπάντων προκείνας τοὺς ἄλλους ἐχθροὺς ποιήσεται, ποινὴν αὐτῶν ὅρκον ἔλαβεν. ἣ μέλλῃ τῷ ληψομένῳ

Δ τὴν παῖδα ἀδικεμένῳ περὶ αὐτὴν, σφόδρα ἐπαμυνεῖν. διόπερ μενελάῳ αὐτὴν ἐκδίδωσι καὶ μετ᾽ ὀλίγον χρόνον ἁρπαχθέσης ὑπὸ ἀλεξάνδρου, ἐκοινώνησαν δὲ στρατείας διὰ τοὺς γονέωνους ὅρκους, ἢ ἰσοδία παρὰ φησιχόρῳ. ΒΗΣΕ ΤΑΙ. ἀποβήσεται. ΕΝ ΠΥΡΙ ΔΗ ΒΟΥΛΑΙΤΕ ΓΕΝΟΙΑΤΟ ΜΗΔΕΑΤ᾽ ΑΝΔΡΩΝ. ὑπὸ τοῦ

Ε πυρὸς ἀφανισθῆναι αὖτ. γνῶμαι ὑμῶν καὶ τὰ βεβιώματα. ΜΗΔΕΑ. βεβιώματα σκέψις. ΓΕΝΟΙΑΤΟ. γόνιμον τὸ. ΣΠΟΝΔΑΙ ΤΑΚΡΗΤΟΙ. καὶ αἱ δὶ ἀκράτου οἷον γονίμους θυσίαι. ΔΕΞΙΑΙ. δεξιώσεις συνθῆκαι. ΗΙΣ ΕΠΕΠΙΘΜΕΝ. αἷς ἐπιπιστεύσαμεν. ΑΥΤΩΣ. ἁπῶ, μάτην. ΕΠΕΕΣΣΙ. λόγοις. ΕΡΙΔΑΙΝΟΜΕΝ.

ἐρίζομεν

ἐείσομεν, φίλον ἐκοῦσαν. ΜΗΧΟΣ. μηχάνημα, τέχνασμα. Α
ΕΥΡΕΜΕΝΑΙ. οὗρεῖν. ΕΟΝΤΕΣ. ὄντες, ὑπάρχοντες. ΩΣ ΠΡΙΝ. ὡς ποτὲ πρότερον. ΑΣΤΕΜΦΕΑ. ἀσφαλῶς καὶ ἀμιτακίνητον. ΑΡΧΕΥ ΑΡΓΕΙΟΙΣΙΝ. ἡγοῦ τῶν ἑλλήνων. ΚΡΑΤΕΡΑΣ. ἰσχυρὰς. ΥΣΜΙΝΑΣ. μάχας. ΤΟΥΣ ΔΕ ΔΕΑ. τούτους δὲ ἴδια. ΦΘΙΝΥΘΕΙΝ. φθείρεσθαι. ΕΝΑ ΚΑΙ ΔΥΟ. δύφυέστερον Β
αἰνίσσεται ἀχιλλέα καὶ πάτροκλον, ἕτερος δ' ὢν ἑνὸς καὶ δύο, αὐτὸ τοῦτο σημαίνει καὶ ἕτερον τοιοῦτον. ΟΙΚΕΝ. ὅτινος ἀν. ΝΟΣΦΙΝ. ἰδίᾳ, χωρίς. ΑΝΥΣΙΣ Δ' ΟΥΚ ΕΣΣΕΤΑΙ ΑΥΤΩΝ. οὐτιλὴς δὲ πρᾶξις οὐ γενήσεται αὐτῶν. ὥς τι πρὸ τοῦ δίοντος χρόνου πορευθῆναι ἡμᾶς ἐς τὴν πιλοπόννησον τῇ διὸς γνώμῃ. ΟΥΚ ΕΣΣΕΤΑΙ. Γ
οὐ γενήσεται. ΠΡΙΝ. πρότερον. ΙΕΝΑΙ. παραγενέσθαι. ΓΝΩΜΕΝΑΙ. γνῶναι. ΨΕΥΔΟΣ ΥΠΟΣΧΕΣΙΣ. ψευδὴς ἡ ὑπόσχεσις. ΗΕ ΚΑΙ ΟΥΚΙ. ἢ καὶ οὐδαμῶς. ΦΗΜΗ ΓΑΡ ΟΥΝ. ὑπολαμβάνω οὖν δή. ΚΑΤΑΝΕΥΣΑΙ. ἐπινεῦσαι. ΥΠΕΡΜΕΝΕΑ. ὑπερίσχοντα τῇ Δ
δυνάμει πάντων. ΚΡΟΝΙΩΝΑ. ἱερόν παῖδα, δίον, ἐσθλὸν καὶ ἕτερον ἄρρενος μᾶλλον, ποσσῶν, ἄδης. θήλεα δὲ, ἴφια, δημήτηρ, ὥρα. ΗΜΑΤΙ ΤΩι. ὑπὸ ἐκείνῃ τῇ ἡμέρᾳ. ΩΚΥΠΟΡΟΙΣΙ. ταχέσιν. ΕΒΑΙΝΟΝ. ὑπέβαινον, ἐσήσαμ. ΦΟΝΟΝ, ΚΑΙ ΚΗΡΑ. θανατηφόρον ἐμαρμένην. ΑΣΤΡΑΠΤΩΝ. ἀστραπὰς ποιῶν. ΕΠΙ ΔΕ Ε
ΞΙΑ. ἐπιδεξίως, αἰσίως. ΕΝΑΙΣΙΜΑ. καθήκοντα, συμφέροντα, ἀγαθά. ΣΗΜΑΤΑ. σημεῖα. ΦΑΙΝΩΝ. λέγων, καὶ φαντρὰ ποιῶν ἡμῖν. ΤΩι ΜΗ ΤΙΣ. διὸ μηδείς. ΕΠΕΙΓΕΣΘΩ. σπουδαζέτω, σπουδέτω. ΠΑΡ 20
ΤΡΩΩΝ ΑΛΟΧΩ. παρὰ τρωϊκὴ γυναικί. ΚΑΤΑΚΟΙΜΗΘΗΝΑΙ, συγκοιμηθῆναι. ΠΡΙΝ. πρὶν αὖ.

ΤΙΣΑ-

Α ΤΙΣΑΣΘΑΙ ΔΕΔΕΝΗΣ. ἢ τὰ ἐξῆς θέλω ἂν ἡμᾶς τιμωρίαν λαβεῖν, αὐτὶ τῶν γονομένων ἡμῖν δι' ἐλόγων σὺν ναυμῶν καὶ ἱκανῶν. ΤΙΣΑΣΘΑΙ. τιμωρήσασθαι. ΟΡΜΗΜΑΤΑ. σθυμήματα. ΣΤΟΝΑΧΑΣ ΤΕ καὶ στιναγμούς. ΑΠΤΕΣΘΩ. λαμβανέσθω. ΗΣ ΝΗ ΟΣ. δι' ἰδίας νηός. ΜΕΛΑΙΝΗΣ. βαθείας σκοτινῆς.

Β ἢ πίσης πιχεισμένης. ΠΡΟΣ ΘΑΛΛΩΝ. πρότερον τῶν λοιπῶν, ἢ ἐμπροσθον. ΠΟΤΜΟΝ. μόρον, ὃ ἔστιν ἐν σὺν ἡμῖν πρὸ πάντων ἐκεῖνος ἐδὲ θάνατον ἔλθη, καὶ ἀνα πληρώσῃ τὴν ἁμαρτίαν. ΕΠΙΣΠΗ. ἐπιδιώξῃ, κατα λάβῃ. ΑΛΛΑΝΑΞ. ἀλλ' ὦ βασιλῆ, ἀποφέρει δὲ τ λόγον ἀπὸ τῶν ἑλλήνων πρὸς τὸν ἀγαμέμνονα, καὶ καλε

Γ ται τὸ σχῆμα ἀποστροφή. ΕΥ ΜΗΔΕΟ. σὺ δὲ καλῶς βυλεύσ. ΠΕΙΘΕΟ. ΤΑΛΛΩ. καὶ πέθε ἄλλῳ, λέ πα δὲ τῷ καλῶς σοι συμβυλεύοντι. ΑΠΟΒΛΗΤΟΝ. ἀποβολῆς ἄξιον, ἀδόκιμον. ΕΣΣΕΤΑΙ. ἔσται, γενήσε ται. ΟΤΤΙ ΚΕΝ ΕΙΠΩ. ὅτι ἂν εἴπω. ΚΡΙΝΕ. διάκρινε, διαχώρησον. ΚΑΤΑ ΦΥΛΑ. κατὰ ἔθνη,

Δ ὅ ἔστιν ἰδία πλήθη. ΚΑΤΑ ΦΡΗΤΡΑΣ. κατὰ φα ρίας, ὅ ἔστι συγγενέας. ΩΣ ΦΡΗΤΡΗ ΦΡΗΤΡΗ ΦΙΝ ΑΡΗΓΗ. ὅπως ἡ ἰδία φαρία τῇ ἑαυτῆς φαρίᾳ βοηθῇ. ΦΥΛΑ ΔΕ ΦΥΛΟΙΣ. τὰ δὲ ἔθνη τοῖς ἔθνε σιν. ΕΡΞΗΣ. πράξῃς. ΓΝΩΣΗ. μάθῃς. ΟΣ ΤΕ καὶ ὅσ τις. ΝΥ. δή. ΗΔΟΣΚΕ. νῦ ὅσ τις. ΕΣΘΛΟΣ.

Ε ἀγαθός, ἀνδρεῖος. ΕΠΗΣΙ. ὑπάρχοι. ΚΑΚΟΣ. δειλός, ἀσθενής. ΚΑΤΑ ΣΦΕΑΣ ΓΑΡ ΜΑΧΕΟΝΤΑΙ. οὕτω γὰρ ἂν προθύμως, κατὰ τὴν ἑαυτοῦ δύναμιν ἕκασος μαχέσται. ΓΝΩΣΕΑΙ ΕΙ ΚΑΙ ΘΕΣΠΕΣΙΗ ΠΟ ΛΙΝ ΟΥΚ ΑΛΑΠΑΞΗΣ. ἐπιγνώσῃ πότερον θέα γνώ μη ἔστιν ἢ ἀναπεμφθήσεται πρὸς τὸ πλεῖν τὴν ἴλιον, ἢ ἢ τῶν

ἀνδρῶν

ἐὼ δρῶν δειλία ἢ ἀπόνοια τ πολεμικῶν ἔργων. ΚΑΤΑ Α
ΣΦΕΑΣ. καθ ἑαυτὸς. ΘΕΣΠΕΣΙΗι. θεόπνευστος. ΟΥΚ
ΛΑΠΑΞΕΙΣ. οὐκ ἐκπορθήσεις. ΚΑΚΟΤΗΤΙ.
λακίᾳ δειλία. ΑΦΡΑΔΙΗι. ἀφροσύνῃ. ἐξίστατο δὲ διὰ
τὴν παύσιν τῶν πάλαι πρὸ πολλοῦ μὴ γεγενῆσθαι ὁ νύσσων. ἅτε
ὂν πάλαι μὲν ἀχιλλεὺς φίλος ὢν τ ἑλλήνων, ὕστερον πρὸς
τὸ συνέχειν τοὺς βαρβάρους καὶ λαλῶν ἐπέπνευ θαρρῶν, οὐκ ἐ Β
ποίει τοῦτο, νῦν δὲ αὐτὸ μανίστ Θ, εἰκότως ἀσφαλισάμενος
διάταξιν εἰσάγει. ΗΜΑΝ. ὄντως, πάλαιθεν δή. ΑΓΟ
ΡΗι. δημηγορία, συμβουλία. ΝΙΚΑΣ. ὑπερβάλλεις. ΑΙ
ΓΑΡ ΖΕΥ ΤΕ ΠΑΤΕΡ ΚΑΙ ΑΘΗΝΑΙΗ ΚΑΙ
ΑΠΟΛΛΟΝ. ἔθη γὰρ. ὅτι δὲ ἐπίῤῥημα σύμπικον ὁτιοῦ-
θεν δέ τινες νομίζουσιν ἀθηναῖον γεγονέναι τὸν ποιητήν, τὸ Γ
γὰρ ἀθηναϊκὸν ἀττικὸν καὶ ἴδιον εἶναι τ ὅρκον ἀθηναίοις. ΣΥΜ
ΦΡΑΔΜΟΝΕΣ. σύμβουλοι. ΗΕΝ. ἦσαν, ὡσπερ ἦρχον.
ΤΩι ΚΕΝ. οὕτως γ ἂν. ΤΑΧΑ. ταχέως. ΗΜΥΣΕΙΣ.
πλιθέν, πίσοι. ΧΕΡΣΙΝ ΥΦΗΜΕΤΕΡΗιΣΙΝ.
ὑπὸ τ ἡμετέρων χειρῶν. ΑΛΟΥΣΑ. ληφθεῖσα. ΠΕΡΘΟ
ΜΕΝΗ ΤΕ. πορθηθεῖσα, ἐξίστατ καὶ τοῦτο. διατὶ ὀδυσ Δ
σέως διατασχόντος διὰ λόγων τὸν ὄχλον, καὶ τοιοῦτο πρᾶ
γμα συντόμου καὶ σπουδαίου ποιήσαντος ὁ βασιλεὺς νῦν δύ
ναμιν οὐ τῷ λέγειν τῷ νύσσοντι προσμαρτυρεῖ. ἅτοι ὡς δυνα
μικωτέρῳ, προκατειλημμένῳ γὰρ τῶν ἐπιχειρημάτων ἀ
θηνᾶ, καὶ ὀδυσεῖ, ὅμως ὑποῤῥισι λόγων, ἢ ὅτι ὁ μὲν μόνον
ὠνείδισε, νύσσων δὲ σὺν τῇ διατάξει καὶ συμβουλίᾳ, καὶ τοὺς Ε
ῥόπας ἔπι νίκης φῶς βεβαιότερον. ΑΠΡΗΚΤΟΥΣ.
πρὸς ἀπράκτους πρὸς ἄς οὐδόν ἐστι πρᾶξαι φιλονεικίας.
ΝΕΙΚΕΑ. λακολογίας. ΒΑΛΛΕΙ. ἐμβάλλει. ΜΑ
ΧΕΣΣΑΜΕΘΑ. ἐφιλονεικήσαμεν. ΕΙΝΕΚΑ. ὧν
κα. ΑΝΤΙΒΙΟΙΣ. ἀνταίοις. ΗΡΧΟΝ. πρῶτος ἤρχομεν δὲ
ὀργῆς.

Α ὀργῆς. ΧΑΛΕΠΑΙΝΩΝ. ὀργιζόμενος. ΕΣ ΓΕΜΙΑΝ. εἰς μίαν καὶ πλὴν κοινὴν ἐκκλησίαν καὶ συμβουλίαν. ΑΝΑΒΛΗΣΙΣ. ἀναβολή, ὑπέρθεσις τοῦ κακοῦ. ΟΥΔΗΒΑΙΟΝ. οὐδὲ τὸ ἐλάχιστον ἢ ὀλιγοχρόνιον. ΔΕΙΠΝΟΝ. τὸ παρ' ἡμῖν νῦν ἄριστον λεγόμενον τὸ πρωϊνὸν ἔμβρωμα. δόρπον δὲ τὸ οὐ τῇ ἑσπέρᾳ. ὃ ἡμεῖς δεῖπνον λέγομεν. δεῖπνον
Β τὸ πρωϊνόν, μεθ' ὃ δεῖ πονεῖν. ὅ ἐστιν ἐργάζεσθαι. δόρπον δὲ, ἢ ἑσπερινὴ τροφή. παρὰ τὸ οἱονεὶ παύεσθαι τὸ τηνικαῦτα λοιπὸν τοὺς πολιμοῦντας τὸ δόρατος. ὅ ἐστι τὸ πολέμα, καὶ ἡσυχάζειν. ΑΡΗΑ. νῦν τὸν πόλεμον, τέθραχως γὰρ τούτῳ τῷ ὀνόματι κέχρηται ὁ ποιητής, ἀπὸ μὲν τοῦ πολέμου ὡς οὐταῦθα. νῦν δ' ἤρχεθ' ἁπὸ δεῖπνον ἵνα ξυνάγω
Γ μὲν ἄρνα, ἀπὸ δὲ τοῦ σιδήρου ὡς ἐκεῖ. αἵματος ἅσαι ἄρνα τελαύρινον πολεμιστήν, καὶ οὕθαρ δ' ἔπιτ' ἀφίεμεν ὅμβριμος ἄρνες. ἀπὸ δὲ αὐτοῦ τοῦ θυῶ, οὕτως, καὶ δ' αὖτε κυνὸς μεγα ἄγχβροτολοιγὸν ἄρνα, καὶ πάλιν. ὃν δὲ φάσαν ἄρνες κορυθαίολος, ἀπὸ δὲ τῆς πλυνῆς. οὕθαρ μάλιστα γίγνετ' ἄρνες ἀλιγένος οἰζυροῖσι βροτοῖσιν. ΕΥΜΕΝΤΙΣ. ἴσως μέν
Δ τις. ΔΟΡΥ. ξίφος. ΘΗΞΑΣΘΩ. ἀκονησάτω. ΕΥΔΑΣΠΙΔΑ ΘΕΣΘΩ. καὶ εὐρεπισάτω αὐτὸν τὴν ἀσπίδα. ΕΥΔΕΤΙΣ. ἴσως δέ τις. ΑΜΦΙΣΙΔΩΝ. περισκιάμενος καὶ ἀκριβῶς κατασκοπῶν. ΜΕΔΕΣΘΩ. ἐπιμέλεσθαι ποιέσθω, καλὸν γὰρ συσχεῖν ἐλπίδα. ἢ γὰρ ἀποβαίνων ῥᾴδιον ἡγεῖσθαι, ἢ μὴ τελευτῶντος
Ε ὑπεράγειν ἰσχάνειν. ΜΕΔΕΣΘΩ. φροντιζέτω. ΩΣΚΕ. ὅπως ἂν. ΠΑΝΗΜΕΡΙΟΙ. δι' ὅλης ἡμέρας. ΣΤΥΓΕΡΩι. μισητῷ, φοβερῷ. ΚΡΙΝΩΜΕΘΑ. διακρινώμεθα, συμβαλώμεθα. ΑΡΗΙ. πολέμῳ. ΠΑΥΣΟΛΗ. ἴσα τάπαυσις. ΟΥΔΗΒΑΙΟΝ. οὐδὲ τὸ ἐλάχιστον. ΜΕΤΕΣΣΕΤΑΙ. οὐ μεθέξουσιν. ΔΙΑΚΡΙΝΕΕΙ.

διαχωρεῖ

διαχωρίσα. ΜΕΝΟΣ ΑΝΔΡΩΝ. περιφρασικῶς Α
αὖ λέγει, τὴν ἐκάστου δύναμιν καὶ προθυμίαν. ΙΔΡΩ-
ΣΕΙ. ὑγρανθήσεται ὑπὸ τοῦ ἱδρῶτος τοῦ πολεμοῦντος.
ΤΕΥ. τινός. ΤΕΛΑΜΩΝ. ὁ αὐαφορὺς νῦν δὲ ἀ-
σπίδος ὅ ἐστι πλατὺς ἱμὰς. ἀφ' οὗ ἡ ἀσπὶς ἄρτηται. ἔστι δὲ
καὶ ἕτερος τελαμὼν τοῦ ξίφους. ΑΜΦΙ ΣΤΗΘΕΣΣΙ
περὶ τοῖς στέρνοις. ΑΜΦΙΒΡΟΤΗΣ. ἢ περιτεχέ- Β
θηκε βροτὸν ὅ ἐστι τὸν ἄνθρωπον, περιεχούσης καὶ σκεπού-
σης. ἀνθρωπίνοις γὰρ ἐχρῶντο ταῖς ἀσπίσιν οἱ παλαιοί.
ΠΕΡΙΔΕΞΧΕΙ ΧΕΙΡΑ ΚΑΜΕΙΤΑΙ. ἐκπιέ-
σει δὲ καὶ ἡ χεὶρ αὐτοῦ βαστάζουσα τὸ ὅπλον. ΕΥΞΟΟΝ.
τὸ καλῶς κατασκευασθέν. ΤΙΤΑΙΝΩΝ τένων.
ἶλλων. ΑΠΑΝΕΥΘΕΝ. ἄποθεν. χωρὶς. ΟΝ ΔΕ Γ
ΚΕΓΩΝ. ὃν δὲ ἀγὼ ἐγώ. ΕΘΕΛΟΝΤΑ. θέλοντα.
βουλόμενον. ΝΟΗΣΩ. διάσομαι. ἴδω. ΜΙΜΝΑ-
ΖΕΙΝ. μιμεῖσθαι. ΚΟΡΩΝΙΣΙ. καμπυλοπρύμναις.
ΟΥ ΟΙ ΕΠΕΙΤΑ. οὐκ ἂν αὐτῷ εἰς τὸ μετὰ ταῦτα.
ΑΡΚΙΟΝ. ἱκανὸν. φίλιμον. ΕΣΣΕΙΤΑΙ. ἔσται.
γενήσεται. ΦΥΓΕΕΙΝ. φυγεῖν. ὁ δὲ λύγος. τῷ δὲ θέ- Δ
λοντι φυγεῖν τὸν πόλεμον, οὐχ' ἱκανὸν οὐδὲ αὔταρκες τὸ
πέσται πρὸς τὸ μὴ ὑπὸ ἰυνῶν καὶ σαρκοφάγων ἐργάσα
διασπασθῆναι. ΙΑΧΟΝ. ἤχησαν. ἐβόησαν. ΑΚΤΗ
ὁ παραθαλάσσιος καὶ πετρώδης τόπος ἀπὸ τοῦ περὶ αὐ-
τὴν ἄγεσθαι, ὅ ἐστι ῥήσσεσθαι, καὶ περικλᾶσθαι τὰ κύμα-
τα. ΠΡΟΒΛΗΤΙ. προβεβλημένῳ ἐκκειμένῳ. ὅ ἐστι Ε
προίχοντι εἰς τὴν θάλασσαν. ΣΚΟΠΕΛΩ. ὑφηλῷ τό-
πῳ. ἀφ' οὗ περισκοπῆσαι καὶ ἀπιδεῖν ἔστι πάντα. ΛΕΙ-
ΠΕΙ. ἀπολείπει. ἰᾷ. ΠΑΝΤΟΙΩΝ. πανοπλιῶν.
ΑΝΣΤΑΝΤΕΣ. ἀναστάντες. ΟΡΕΟΝΤΟ. ὥρ-
μων. ΚΕΔΑΣΘΕΝΤΕΣ. διαμιγέντες. σπορπι-

Α σθόντες. ΚΑΠΝΙΣΑΝ. πῦρ αὐῆναν. καὶ ὀδωδέναι σαν. ΕΛΟΝΤΟ. ἔλαβον. ΕΡΕΖΕΝ. ἐπιτίλει. ἔθυ ιν. ΑΙΕΙΓΕΝΕΤΑΩΝ. διαπαντὸς ὄντων. ἀθανάτων. ΜΩΛΟΝ. μολυσμὸν τὸν οὐ τῷ πολίμῳ. καὶ πόνον. ΙΕΡΕΥΣΕΝ. ἴσφαξεν. ΠΙΟΝΑ. πιμελῆ. λιπαρόν. ΠΕΝΤΑΕΤΗΡΟΝ. πονταέτη. ΚΙΚΛΗΣ

Β ΚΕΝ. ἱκάλει. ΓΕΡΟΝΤΑΣ. οὐτίμους βασιλέας. ΑΡΙΣΤΗΑΣ. τοὺς οὐ τῷ πολίμῳ ἀρίστους. ΠΑΝΑΧΑΙΩΝ. πάντων τῶν ἑλλήνων. ΙΔΟΜΕΝΗΑ. τὸν ἰδομενέα καὶ τοὺς λύο αἴαντας. τὸν δίωα ὑὸν τὸν διομήδην. ΔΙΙ ΜΗΤΙΝ ΑΤΑΛΑΝΤΟΝ. τῷ διὰ μιᾶς τὴν βολὴν ἴσον. ΑΥΤΟΜΑΤΟΣ. ἄνευ τοῦ

Γ κλῆθναι. ΒΟΗΝ ΑΓΑΘΟΣ. ὁ οὐ τῷ πολίμῳ γενναῖος. ἡ μὲν γὰρ λειτία βρέμουσα τὸ πνεῦμα βραχέως ἐπεργάζεται τὴν φωνήν. ΗΔΕΕ. ἤδει. ὑπίσταλο. ΚΑΤΑ ΘΥΜΟΝ. διὰ τὴν ψυχήν. ΑΔΕΛΦΕΟΝ. ὡς ἀδελφόν. ΕΠΟΝΕΙΤΟ. ὠφέργει. ἔθυσεν ὑπὲρ αὐτῶν. ΒΟΥΝ ΔΕΠΕΡΙΣΤΗΣΑΝΤΟ. περὶ δὲ τὸν βοῦν πύ-

Δ κλωῖησαν. ΟΥΛΟΧΥΤΑΣ. τὰς κριβὰς ΑΝΕΛΟΝΤΟ. ἐβάσασαν. ἀνέλαβον. ΚΕΛΑΙΝΕΦΕΣ. μέλανονιφῆς. μέλανα νέφη συνάγων πρὸς κατάπληξιν. ΑΙΘΕΡΙ ΝΑΙΩΝ. ὁ τῶν ὑπὲρ τὸν ἀέρα ὄντα ἀθέρα κατοικῶν. ὁ γὰρ ὅμηρος τοῦτο οἶδεν ἀθέρα. ΚΝΕΦΑΣ ΕΛΘΕΙΝ. καὶ σκότος ἐπιγενέσθαι. ΚΑΤΑΠΡΗ-

Ε ΝΕΣ ΒΑΛΕΕΙΝ. διαβαλεῖν ὥστε καὶ εἰς τὸ ἔμπροσθεν πεσεῖν. ΜΕΛΑΘΡΟΝ. οἶκον. ἀπὸ τοῦ ὑπὸ κατενοῦ μελαίνεσθαι. ἀπὸ δὲ τούτου φησὶ τὸ βασίλειον. ΑΙ-
21 ΘΑΛΟΕΝ. τὸ κατηθαλωμένον καὶ καταπαυθῆναι δυνάμενον. ΠΡΗΣΑΙ. ἐμπρῆσαι. καῦσαι. ΔΗΙΟΙΟ. καυστικῆ. φλεκτικῆ. ΘΥΡΕΤΡΑ. θύρας. ΕΚΤΟΡΕΟΝ ΔΕ

ΧΙΤΩΝΑ

ΧΙΤΩΝΑ. τὸν δὲ τοῦ ἵππου & χιτῶνα. ΠΕΡΙ ΣΤΗ- Α
ΘΕΣΣΙ. περὶ τὰ στήθη αὐτοῦ. ΔΑΙΞΑΙ. διακόψαι.
ΧΑΛΚΩΙ ΡΩΓΑΛΕΟΝ. σιδήρῳ διακοφθησόμε-
νον. ἢ διασχισμένον. γέγονε δὲ παρὰ τὸ ῥήγω. ΠΟΛΕ-
ΕΣ ΔΕ πολλοὶ δέ. ΑΜΦΑΥΤΟΝ. περὶ αὐτόν.
ΠΡΗΝΕΕΣ. πρηνεῖς. ἐπὶ πρόσωπον. ΕΝ ΚΟΝΙΗ-
ΣΙΝ. οὐ τῇ γῇ κείμενοι. Ο ΔΑΞ ΛΑΖΟΙΑΤΟ ΓΑΙ Β
ΑΝ. τοῖς ὀλίγοις τῆς γῆς δάκνων. γίγνεται δὲ ἐκ τοῦ δάκνω
δάξω δάξ. ἔστε δὲ συμβαίνει αὐτοῖς ὀδυνωμένοις. τὸ δὲ τοῦ
αμ αὐτὶ τοῦ γάπτ. ΟΥ ΔΑΡΑ ΠΩ ΟΙ. ὁ δὲ πω δὲ
αὐτῷ. ΕΠΕΚΡΑΙΑΙΝΕΝ. ἐπετέλει. ΔΕΚΤΟ. ἐδέ-
ξατο. ΙΕΡΑ. ἱερεῖα. θυσίας. ΠΟΝΟΝ ΔΕ. κάμα-
τον δέ. ΑΜΕΓΑΡΤΟΝ. ἄφθονον. πολύν. ΟΦΕΛ Γ
ΛΕΝ. ἤθελεν. ΠΡΟΒΑΛΟΝΤΟ. ἐπεβάλοντο.
ΚΝΙΣΗι. τῷ λίπει. ΔΙΠΤΥΧΑ. διπλᾶ. ΩΜΟ
ΘΕΤΗΣΑΝ. ὠμὰ τὰ κρέατα τοῖς βωμοῖς ἀπὸ ἑκάστ μέ-
ρους λαβόντες ἐπέθηκαν. ΣΧΙΖΗι ΣΙ. σχίζαις. ΑΦΥΛ
ΛΟΙΣΙ. φύλλα μὴ ἐχούσαις. ξηραῖς. ΠΕΙΡΑΝΤΕΣ.
διαπείραντες. ΥΠΕΡΕΧΟΝ. ὑπερᾶνω εἶχον. Η Δ
ΦΑΙΣΤΟΙΟ. τοῦ πυρός ΔΗΘΑ. ἐπὶ πολὺν χρόνον.
ΑΥΘΙ. οὐτωῦθα. ΛΕΓΩΜΕΘΑ. διαλεγώμεθα ἢ
συναθροιζώμεθα. στρατηγικὴ διάσκαλία χρόνῳ φέρεσθαι
εὖτι γὰρ παρελθόντα ἀνακαλεῖσθαι. ὄυτι αὐτήσαντες λα
βεῖν αὐτὸν δυνάμεθα. ἐρατυθεὶς γὰρ ἀλέξανδρ & πῶς ἂ
ἄλλάδ & στρεψόμεθ, μηδὲν ἀναβαλλόμεν & ἔπειτ. ΑΜ Ε
ΒΑΛΛΟΜΕΘΑ. ἀναβαλλώμεθα. ἀνατιθώμεθα. ΕΡ
ΓΟΝ. νῦν τὸ πόλεμον. Ο ΔΗ. ὅπερ δή. ΕΓΓΥΑΛΙΞΕΙ. ἐγχερεῖ
σῃ. ΑΓΕΙΡΟΝΤΩΝ. ἀθροιζόντων. ΑΘΡΟΟΙ. συναθροισμένοι.
ὁμῦ. ΙΟΜΕΝ. ἀπίωμεν. ἀπερχώμεθα. ΟΦΡΑ ΚΕΘΑΣΣΟΝ
ὅπως ἂν τάχιον. ΟΞΥΝ ΑΡΗΑ. διὰ τάχος πόλεμον. Κ Η

Α ΤΥΚΕΣΣΙ. ζῶσι πάρυμ. ΛΥΓΥΦΘΟΓΓΟΙΣΙΝ. ὀξυφώνοις. ἐλυφώνοις. ΟΙ ΔΑΜΦΑΤΡΕΙΩΝΑ. οἱ δὲ περὶ τὸν ἀβρίωνα παῖδα ἀναμίμνονα. ΘΥΝΟΝ. ὥρμων. ΚΡΙΝΟΝΤΕΣ. διαχωρίζοντες. ΜΕΤΑ ΔΕ. οἱ αὐτοὶ δὲ ἙΡΙΤΙΜΟΝ. ὄντιμον. μιγαλότιμον. ΑΓΗΡΑΟΝ. ἄφθαρτον. ΘΥΣΑΝΟΙ. λιρσοί. ΠΑΓΧΡΥΣΕΟΙ. ὁ

Β λόχρυσοι. ΗΕΡΕΘΟΝΤΟ. ἠαροῦντο. ἐκρίμαντο. ΕΥΠΛΟΚΕΕΣ. λιαλῶς πεπλεγμένοι. ΕΚΑΤΟΜΒΙΟΣ. ἑκατὸν βοῶν τιμῆς ἄξιον. ἢ ἑκατὸν χρυσῶν νομισμάτων. οἱ γὰρ ἀρχαῖοι τιμῶντες τὸ ζῶον τὸν βοῦν. διὰ πολλὰ μὲν καὶ ὅτι δὲ ἱερόν ἐστιν, οὐκ ἀσεκτον τῷ μὲν ἐπὶ μέρει τὸ νομίσματος, βοῦν. τῷ δὲ ἐπέρῳ, τὸ τοῦ βασιλέως

Γ πρόσωπον. ΣΥΝ ΤΗι. σὺν ταύτῃ τῇ αἰγίδι. ΠΑΙΦΑΣΣΟΥΣΑ. σείουσιῶσα. ὁρμῶσα. ΔΙΕΣΣΥΤΟ. διήκει. διήρχετο. ΟΤΡΥΝΟΥΣΑ. παρωρμῶσα ἐς τὸν πόλεμον. ΣΘΕΝΟΣ. δύναμιν. ΑΛΗΚΤΟΝ. ἀπαράπαυστον. ΤΟΙΣΙ ΔΕ. τοῖς δὲ ἵπποις. ΑΦΑΡ. εὐθέως ταχέως. ΓΛΥΚΙΩΝ. ἡδύτερον. ΗΕ ΝΕ

Δ ΕΣΘΑΙ. ἤπερ πορεύεσθαι εἰς τὰς παρίδας. ΓΛΑΦΥΡΗιΣΙ. κοίλαις. βαθείαις. ΑΙΔΗΛΟΝ. ἀδηλοποιὸν. ἀφανιστικόν. ΕΠΙΦΛΕΓΕΙ. παίει. ΑΣΠΕΤΟΝ. πολλήν. ΟΥΡΕΟΣ ΕΝ ΚΟΡΥΦΗιΣΙ. ὀρεινῶν ἀκροωρείαις. ΕΚΑΘΕΝ. πόρρωθεν. ΑΥΓΗ. λαμπηδών. ΩΣ ΤΩΝ. οὕτως τούτων. ΑΙΓΛΗ. λαμπρότης. ΘΕΣΠΕΣΙΟΙΟ. θείου. θαυμαστοῦ. ΗΚΕ.

Ε παρεγίνετο. ΔΙΑΙΘΕΡΟΣ. διὰ τὸ αἴρεσθαι. ΕΘΝΕΑ. ἔθνη. πλήθη. ΔΟΥΛΙΧΟΔΕΙΡΩΝ. μακροβραχίοσι. ΠΕΤΕΗΝΩΝ. πτερυγῶν. ΑΣΗΩ ΕΝ ΛΕΙΜΩΝΙ. οὐ τῷ τῆς ἀσίας συμφύντι τόπῳ. ἢ οὐ τῷ ἐν λιβύῃ τόπῳ. ἄσις γὰρ ἕλη τὰ διάλικτον ὄντα ἢ ἕλυς. ἄλλοι δὲ ἀσίαν

δὲ ἀσίῳ ὀνομαστικῶς ἀπὸ ἀσίης τοῦ λυδοῦ. ἄλλοι παρὰ τὸ Α
ἄσιν. ἀλλὰ πισότερον τὸ κύριον αὐτῷ περιτθόναι. ἔστιν
δὲν ἀπὸ ἀσίου, ὃς ἦρξε λυδίας. μετὰ δὲ τὰς προχοὰς πο-
λὺν τὸν τόπον ὁ μαίανδρος ἐργάζεται. εὐθὺ δ' ὕδωρ καὶ βο
τάνη, ἀφθονία ὀρνίων, τὸ ἀσίον οὐταῦθα, γενικῶς πλῶσιόν
ἐστιν. ὅθεν οὐκ ἔχει τὸ ι. ἢν γάρ τις ἀσίας ἦρως. οὐ ὁμόγνω-
μον ἀσίας λεμῶν, εἶτα ἀσίων ὡς ἀρέσθαι. καὶ ἀσίῳ κατὰ Β
συγκοπὴν ὡς ἐϋμηλίας. ἐϋμηλίῳ πριάμοιο. καὶ ἀνέῳ τὰ ἀ
ρῳ καὶ βορίῳ τὰ ἰωγῇ. οὕτως ὧρος ὁ τῇ ἐρθογραφίᾳ.
ΚΑΥΣΤΡΙΟΥ. καύστρου τοῦ μαιάνδρου λυδίας. ΑΜ-
ΦΙ ΡΕΕΘΡΑ. περὶ τὰ ῥεύματα. ΕΝΘΑ ΚΑΙ ΕΝ
ΘΑ. αὐτοῦνθα πάκεσι. ΠΟΤΩΝΤΑΙ. πίονται.
ΑΓΑΛΛΟΜΕΝΑΙ. χαίρουσαι ΠΤΕΡΥΓΕΣΣΙ. Γ
πτέρυξι. ΚΛΑΓΓΗΔΟΝ. μετὰ βοῆς. ΠΡΟΚΑ-
ΘΙΖΟΝΤΩΝ. τὰ συναγελαστικὰ τῶν ὀρνίων ὅτ' ἂν
προλάβῃ πτῆσει, ἀναμένειν ἕωθι τὰ ὑγιοῦντα.
ΣΜΑΡΑΓΕΙ. ἠχεῖ. ΛΕΙΜΩΝ. ὁ σύμφυτος καὶ ὑ
γρὸς τόπος. ΣΚΑΜΑΝΔΡΙΟΝ. τὸ τῷ σκαμά
νδρῳ ποταμῷ παρακείμενον πεδίον. ὀλίγ σκάμανδρος Δ
μετ' αφαιρόμενος ἀπὸ τῆ ἴδης καὶ μέσον τίμενον τὸ ὑπὸ τῇ
ἰλίῳ κείμενον πεδίον, καὶ ὅπ τὰ ἀριστερὰ ἰκμιδοῦς ἐς θά
λασσαν. μαλέται καὶ ξάνθος. ΣΜΕΡΔΑΛΕΟΝ. κα
ταπληκτικόν. ΧΘΩΝ. γῆ. ΚΟΝΑΒΙΖΕΝ. ἔ
χει. ὀνοματοποιία ὁ ῥόπος. ΕΣΤΑΝ. ἔστησαν. ΑΝ
ΘΕΜΟΕΝΤΙ. ἄνθη ἔχοντι ἢ ἄνθη φέροντι. ΜΥΙ Α Ε
ΩΝ. μυῶν βοιωτικὴ ἡ διάλεκτος. ΜΥΡΙΟΙ. πολλοί.
ΗΥΤΕ ΜΥΙΑΩΝ. καὶ ἑξῆς. ὅπ τῷ λάνα ὑποσίζο
μεν δὲ αὐτὰ ποδισθομένης πάντα λέξεως ἀνακολούθως ἐχού
σης. ὡς ὁ τῆ. ζ. ἰλιάδος. ὡς δ' ὅτ' ὁ ἀστὴρ ἄστρα
φαεινὰ ἀμφὶ σελήνῃ. εἶτα ἐπιφέρει τοσαυτάκις νῦν.

Α ΑΔΙΝΑΩΝ. ἀθρόως πιπτομένων. ΑΙΤΕ. ἄπτεις. ΚΑ
ΤΑ ΣΤΑΘΜΟΝ. κατὰ τὸν ἱππικὸν. ΠΟΙΜΝΗ
ΙΟΝ. ποιμενικόν. ΗΛΑΣΚΟΥΣΙ. περὶ τὸν αὐτὸν
τόπον ἐλαύνονται. ΩΡΗι ΕΝ ΕΙΑΡΙΝΗι. ὁ γὰρ
ὥρα τοῦτό φησι κατ' ἐξοχὴν τῶν ἄλλων ὡρῶν. ΟΤΕ. ἐ
πότι. ΓΛΑΓΟΣ. γάλα. ΑΓΓΕΑ. τὰ γαλακτοπολίχια ἀς
Β γεῖα. ΔΕΥΕΙ. βρίχει. ΙΣΤΑΝΤΟ. ἐστήκασιν. ΤΟΣ
ΣΟΙ. τοσοῦτοι. ΔΙΑΡΡΑΙΣΑΙ. διαφθεῖραι. ΜΕΜΑ
ΩΤΕΣ. προθυμούμενοι. ΑΙΠΟΛΙΑ. αἰγονόμια. ἀπὸ
λιου γὰρ λέγεται τὸ ἀγῶν πλήθ. ποίμνιον δὲ τὸ προ
βάτων. συβόσιον, τὸ τῶν χοίρων. βουκόλιον, τὸ τῶν βοῶν. ἱπ
πορόρβιον τὸ τῶν ἵππων. ΠΛΑΤΕΑ. μιχάλα ἤτοι οὐ
Γ διασήματι ἢ πλάτᾳ πλέονσι νέμονται ἀὶ αἶγες. ΑΙΠΟ
ΛΟΙ. αἰγοβόσκοι ΡΕΙΑ. ῥαδίως. εὐπόλως. ΔΙΑΚΡΙ
22 ΝΩΣΙΝ. διαχωρίσωσιν. ΕΠΕΙ ΚΕ ἐπεὶ δ' ἄν. ὁπότ'
ἄν. ΝΟΜΩι. οὐ τῇ βοσκῇ. ΜΙΓΕΩΣΙΝ. αὐαμιγῶ
σιν. ΩΣ ΤΟΥΣ οὕτως ἠκούτους Ἕλληνας. ΔΙΕΚΟΣ
ΜΕΟΝ. διέτασσον. ΥΣΜΙΝΗΝΔΕ. ὡς πόλιν μάχην.
Δ ΜΕΤΑ ΔΕ. ὁ αὐτοῖς δὲ. ΚΡΕΙΩΝ. βασιλεύς. ΙΚΕΛΟΣ.
ὅμοιος. ἴσιον δὲ ὅτι τὸ ὅμοιος ἢ τὸ ἴσος, ἢ τὸ ἱππος, λοιπὸ
κῆ συντάσσονται μόνα τῶν πρόσω. ΖΩΝΗΝ. τῷ ἄρα
ὅτοι τὸ κατὰ ζῶσμα μέρος. ἢ πόλιν ὅπλισιν ἀπὸ μέρους.
ΣΤΕΡΝΟΝ. στῆθος. ΠΟΣΕΙΔΑΩΝΙ. ποσειδῶ
νί. ΗΥΤΕ. ὥσπερ. καθάπερ. ΑΓΕΛΗΦΙ. ὁ τῇ ἀ
Ε γέλῃ. οὐ τῷ πλήθει. τὸ γένος προσθεὶς, τὸ εἶδος ἐπάγκει.
γενικὸν μὲν γὰρ ὁ βοῦς ἐστιν, ἰδικὸν δὲ ὁ ταῦρος. ΕΠΛΕ
ΤΟ. ἐγένετο. ΜΕΓΕΞΟΧΟΣ. ἐξοχώτατος. ΒΟΕΣ
ΣΙ. βουσί. ΜΕΤΑΠΡΕΠΕΙ. διαπρέπῃ. ΑΓΡΟΜΕΝΗι
ΣΙΝ. ἀθροισμένοις. ΤΟΙΟΝ. τοιοῦτον. ΘΗΚΕΝ ἐποίησεν.
ΗΜΑΤΙ ΚΕΙΝΩι. οὐ ἐκείνῃ τῇ ἡμέρᾳ. ΕΚΠΡΕΠΕΑ.

ἐκπρεπῆ

ἐκπρεπῆ, διάδηλον. ΕΣΠΕΤΕ. λέγετέ μοι ὦ μοῦσαι. διὰ τὸ τ. ψιλωτέον. ὁ δὲ λόγος ἐπάτει νῦν μοι μοῦσαι, ὅττινες ἡγεμόνες. ΑΡΧΟΥΣ ΓΑΡ ΝΗΩΝ ΕΡΕΩ. ΠΛΗΘΥΝ Δ' ΟΥ ΚΑΝ ΕΓΩΝ ΜΥΘΗΣΟΜΑΙ. τοσσήμ' εἴποιμι. οὐδ' ἂ δικαπλασίων ἐμαυτοῦ γενοίμαν, ὑμῶν γὰρ ἔστι τὸ ἔργον. ΦΩΝΗΝ Δ' ΑΡΡΗΚΤΟΣ. ἠδὲ διὰ τόνε δηλοῖ, ὅτι σῶμα ἡ φωνή. ἑκάστοις δέ τινες διὰ ποίαν αἰτίαν ἢ μεγὴν ὅλης πραγματείας ἀρχόμενος ὁ ποιητὴς μίαν ἐπικαλέσατο τῶν μουσῶν. ἐπὶ δὲ τοῦ καταλόγου τὰς πάσας. λέγουσι δέ τινες τ γραμματικῶν, ὡδὶ τὸ μῆνιν ἄειδε, τ δρόμον εἶναι συνεχῆ σχεδὸν, ὡς ἀπὸ μιᾶς τ κυριωτάτης νοεῖσθαι πάσας. ἠδὲ χὴ Ἡσίοδος τὴν καλλιόπην κυριωτάτην φησὶν οὕτως, καλλιόπη θ' ἡ προφερεστάτη ἐστὶν ἁπασῶν. ἄλλοι δὲ λέγουσιν, ὅτι περὶ ἑνὸς προσώπου τ ὀργὴν τότε τ λόγον ποιήσηνος, διάντως πρὸς μίαν τ μουσῶν ἐποιήσατο τ λόγον. μᾶλλον δὲ κατάλογον ἱερῶν νεῶν καὶ βασιλέων, ἐθνῶν τε καὶ τόπων, πλήθους τε πραγμάτων, οὐλόγως πρὸς ἁπάσας τὰς μούσας τ λόγον ἐπιρρήδην. ΠΑΡΕΣΤΕ ΤΕ. οἱ ζοῖς πράγμασιν ἑστέ. ΙΣΤΕ ΤΕ. καὶ ἐπίστασθε. ΚΛΕΟΣ ΟΙΟΝ. ἤτοι μόνῳ τῶν δόξαν τ αὐδρῶν. ἢ μόνον φήμην τινὰ αὐδρῶν ἀκούομεν παρὰ τὸ πλῆθος ῥῆμα, ὃ ἔστιν ἀκοῦσαι. ΙΔΜΕΝ. ἐπίσταμεθα, οἴδαμεν. ΠΛΗΘΥΝ. τὸ πλῆθος. ΗΓΕΜΟΝΕΣ. βασιλεῖς. ΜΗΘΗΣΟΜΑΙ. μυθήσαίμην, εἴποιμι. ΑΡΡΗΚΤΟΣ. ἀδιάῤῥηκτος, στερά. ΕΙΕΝ. ὑπάρχοιεν. ΧΑΛΚΕΟΝ. στερόν. ΗΤΟΡ. φωνή, ψυχή. ΕΝΕΙΗ. οὖσιν. ΕΙ ΜΗ ΟΛΥΜΠΙΑΔΕΣ. ἐμὲ αἱ τ ὄλυμπον κατοικοῦσαι μοῦσαι. ΜΝΗΣΑΙΑΤΟ. ὑπομνήσαν. ΑΡΧΟΥΣ ΑΥ. τοὺς ἄρχοντας ὅ ἔστι τοὺς ἡγεμόνας. ΥΠΟ ΙΛΙΟΝ. εἰς τὴν Ἴλιον.

ΠΡΟΠΑΣΑΣ. πάσας, ὅλας,

πεμπτὴ ἡ πρό.

Α ΒΟΙΩΤΙΑ ΗΤΟΙ ΝΕΩΝ ΚΑΤΑΛΟΓΟΣ.

ΟΙΩΤΩΝ ΜΕΝ ΠΗΝΕΛΕΩΣ ΚΑΙ ΛΗΙΤΟΣ ΗΡΧΟΝ.

Β ἄρξασθαι δέ φασί τινες ἀπὸ βοιωτῶν τὸν ὅμηρον τὸ καταλόγου χαρίζόμενον ταῖς μούσαις, ἃς ἐπικαλέσασθαι, αὐτόθι γὰρ οἰκῆσαι βοιωτίαν· εἶναι τὸν ἰλικῶνα τὸ ὄρος. ὅπου συνηθεῖς αὐταῖς διατρίβειν, οἱ δὲ ἀπὸ φωκίδος λέγουσιν εἶναι τὸν ἰλικῶνα, μὴ οὖν ἀπὸ βοιωτῶν τῶν ἀρχῆς διὰ τοῦτο γεγονέναι, τινὲς δὲ αὐτῶν ἔτι μόνοι νῦν ἔχουσιν ὑγιαίνοντες.

Γ ἄλλοι δέ φασιν, οὐ διὰ τοῦτο. ἀλλ' ἐπεὶ πολλὰς πόλεις ἔσχον ἡ βοιωτία, διὰ τοῦτο οὕτω λέγεσθαι αὐτὸν τὸν κατάλογον. οὐκ ἴσασι δὲ οὐδὲ τοῦτο ὑγιές. οὐ γὰρ ἀπὸ πλήθους πόλεων ὁ κατάλογος παραμυθεῖται. ἤρξατο γὰρ ἂν μᾶλλον ἀπὸ ἱερητῶν ἐχόντων κατὰ πόλεις. βέλτιον δὲ λέγειν αὐτὸν ἀπὸ βοιωτῶν ἤρχθαι, ἐπάπορ ὁ αὐλίδι, πόλει δὲ βοιωτίας συνάχθη ἅπαν τὸ πλῆθος τὸ ἐπὶ ἴλιον μέλλον φέρεσθαι, ἔχει δὲ αὕτη ἡ πόλις λιμένας, τοὺς μὲν βλέποντας ἐπὶ τὴν ἴλιον, τοὺς δὲ καταγωγεῖς ἀπὸ δὲ ἑλλάδος πάσης. δι' ἣν αἰτίαν συνηθροίσθησαν αὐτόθι, καὶ οὕτως ἀπέπλευσαν. ὁ δὲ ἀρίσταρχος φησὶ κατὰ ἐπιφορὰν αὐτὴν ἀπὸ βοιωτῶν τὴν ἀρχὴν ποιεῖσθαι. εἰ γὰρ καὶ ἀπ' ἄλλων ἔθνων Ε ἤρξατο, ἴζητοῦμεν ἂν τὴν αἰτίαν δὲ ἀρχῆς. ΒΙΩΤΩΝ ΜΕΝ ΠΗΝΕΛΕΩΣ ΚΑΙ ΛΗΙΤΟΣ ΗΡΧΟΝ. οὗτοι μὲν οἱ ποότι βοιωτῶν στρατηγοί. ἰσέον δὲ ὅτι ἐτίθεσαν πλεῖστοι τῶν παλαιῶν προλαπτικῶς τὰς ὀνομασίας τοῖς παισὶν ἀφ' ὧν ἔμελλον οἱ παῖδες ἐπιτηδεύειν πραγμάτων. σφόδρα δὲ αὐτοῖς ἔμελε τὰ τοῦ πολέμου. διὸ πηνέλεως μὲν

ρεῖν ὠνομάσθη, ἀπὸ τοῦ πείθεσθαι περὶ τὸν λεών, ὃ ὄφελος πο- Α
νεῖν καὶ ἐργάζεσθαι κατὰ τὸν ὄχλον. λέγεται δὲ ἀπὸ τοῦ
λείαν ἄγειν. λεία δὲ ἡ ἀπὸ πολέμου λῃτησις. ἀρνησίλαος
δὲ, ἀπὸ τοῦ ἐπαρκέσειν καὶ βοηθήσειν τοῖς λαοῖς, τυτέστι τοῖς
ὄχλοις. προβούνους δὲ ὁ προβρίξων καὶ προδραμούμενος ἐνε
ρεῖν, τυτέστιν αὐθεῖα, λιλονίος δὲ ὁ γενναῖος καὶ μάχιμος
γενησόμενος, λιλόνος γὰρ ἡ μάχη. ΒΟΙΩΤΩΝ ΜΕΝ Β
ΠΗΝΕΛΕΩΣ. ἡ βοιωτία τὸ πρότερον ἀονία ἐκαλεῖτο.
ἀπὸ τῶν κατοικούντων οὐ αὐτῇ ἄονων, μετονομάθη δὲ βοιω
τία κατὰ μέν τινας, ἀπὸ βοιωτοῦ τοῦ ἰτώνης καὶ ποσειδῶνος,
καὶ ἄρνης. ἔτι δὲ βοιωτοὶ τιμῶσι τὸν προπάτορα αὐτῶν
βοιωτὸν, ὑόν ποσειδῶνος καὶ ἰπέρης. δὲ ἀπὸ τῆς ἰλαθέσης κα
τὰ συνθέχρηστον ὑπὸ Διὸς βοός. σὺ ῥώπας γὰρ ἡ φοίνικος Γ
βυγατρὸς ἐκ σιδῶνος ὑπὸ Διὸς ἁρπαγείσης, κάδμος ὁ ἀδελ
φὸς αὐτῆς κατὰ ζήτησιν πεμφθεὶς ὑπὸ τοῦ πατρὸς, ὡς οὐχ
σὺ ῥάκησε αὐτὴν, ἦκεν ἐς δελφοὺς πρὸς τὸ θεῖον. ὁ δὲ θεὸς ἔφησεν
αὐτῷ περὶ μὲν σὺ ῥώπης, μὴ πολυπραγμονεῖν, χρῆσθαι δὲ
πανδοκηῶ βοΐ, καὶ πόλιν ἐκεῖ κτίζειν, ὅθεν ἂν αὐτὴ εἰς τὰ
δεξιὰ πίσω λαμοῦσα, τοιοῦτον λαβὼν χρησμὸν διὰ φωκίων Δ
ἐπορεύετο. ἔπειτα βοῒ συντυχὼν, παρὰ τοῖς πελάγουσι βυκο
λίοις ταύτῃ πορδομένῃ κατόπιν ἕπετο, ἡ δὲ διελθοῦσα πᾶ
σαν βοιωτίαν, ὀκνήσασα ἀνεκλίθη. ὅθεν νῦν ἡ πόλις ἐστὶ
βῆβαι. βουλόμενος δὲ ἀθηνᾶ τῶν βῶν ἐκταθῦσαι πέμπει τε
νὰς τῶν μεθ ἑαυτοῦ ληψομένους χέρνιβα ἀπὸ τῆς ἀρκταίδος
κρήνης. ὁ δὲ φρουρῶν τὴν κρήνην δράκων, ὃν ἄρης ἔτεκεν Ε
εἶναι, τοὺς πλέονας τῶν πεμφθέντων διέφθειρεν, ἀγανακ
τήσας ὑπὲρ κάδμου, κτείνει τὸν δράκοντα, καὶ ἡ ἀθηνᾶς αὐ
τῷ ὑποθεμένης, τοὺς τούτου ὀδόντας σπείρει. ἀφ' ὧν ἐγένοντο
τοὶ γηγενεῖς, ὀργισθέντος δὲ ἄρεως, καὶ μέλλοντος κά
δμου ἀναιρεῖν, ἐκώλυσεν ὁ ζεύς, καὶ ἁρμονίαν αὐτῷ συνῴ

Α κισι τῶν ἄριστοι ἢ ἀφροδίτης. πρότερον δὲ ἐκίλδυσεν αὐτὸν αὐτὸ δὲ αὐαιρέσως τὸ δράκοντος ὀνειατὸν θυτεῦσαι, οὐ δὲ τῶν γάμων, μέσας ἅσαι καὶ τῶν θεῶν ἕκαστον ἁρμονίαν δῶρον λοῦναι. ἱστορεῖ ἰλλαλύικος οὐ βοιωτιακοῖς, καὶ ἀπολλόδωρος. ΗΡΧΟΝ. ἐβασίλευον, ἤγουντο. ΟΙ ΘΥΡΙΗΝ. τὸ πλῆρον ὅτι τὸ ὑγίαν, ὑγία δὲ χωρίον πλησίον τῆ αὐλίδος

Β ὃ ἔκλισον ὑρμιὺς ὁ ποσειδῶν, καὶ ἀλκυόνης, ἢ ὡς τινὲς ἐκ πεν, βοιωτὸς ὁ ὠρίων κατὰ. ΕΝΕΜΟΝΤΟ. κατὰ κεν. ΑΥΛΙΔΑ. αὐλὶς ὠνόμασται ἀπὸ αὐλίδος τοῦ νόμου τοῦ κηφισοῦ. ἢ ἀπὸ τοῦ αὐτόθι αὐλισθῆναι καὶ μᾶναι τοὺς ἕλληνας. ΠΕΤΡΗΕΣΣΑΝ. πυθώδη, φαχέαν. ΣΧΟΙΝΟΝ. πόλιν βοιωτίας ἀπὸ σχοινέως τοῦ ἀθαμάν-

Γ τος τοῦ ἀτάλαντης πατρός. ΣΚΩΛΟΝ ΤΕ. καὶ σκώληξ. ἴσως δὲ κώμη ἢ σκῶλος ὑπὸ κιθαιρῶνι ὄρει τῆ οὐ τῆ βοιωτίᾳ θηβῶν, οὕτω δὲ νικληθῆ διὰ τὸ δυσείκτον τοῦ τόπου. ΠΟΛΥΚΝΗΜΟΝ. πολλοὺς ἔχουσαν κνημούς, κνημοὶ δὲ μεταφορικῶς ἀπὸ τῶν ἀνθρωπίνων κνημῶν. λέγονται δὲ αἱ τῶν ὀρῶν προβάσεις, καὶ χερσὶν αὗται ὅσον ἀπὸ κιφα-

Δ λῆς πρὸ τῶν βάσεων ἴσιν, ὅ ἐστι πρὸ τῶν ποδῶν. ΕΤΕΩΝΟΝ. ὠνόμασται ἀπὸ ἑτεωνοῦ, ὃς ἦν ἀπόγονος βοιωτοῦ, καλεῖτῆ ἢ νῦν σκάφη. ΘΕΣΠΕΙΑΝ. τὰς νῦν πληθυντικῶς θεσπιὰς καλεμένας. ΓΡΑΙΑΝ. τὴν νῦν Γραίαν καλεμένην. ΕΥΡΥΧΟΡΟΝ. πλατεῖαν, μεγάλην. ΜΥ-

Ε ΚΑΛΗΣΣΟΝ. ὅτως πληθεῖσαν ἀπὸ μυκάλης δὲ οὐ καείσης πρίσως οὐ αὐτῆ ἱδρυσαμένου τοῦ Ἕ μυκαλίσσης διὸς ἱερόν. ΟΙ ΤΕ. ὅτινες. ΑΜΦΑΡΜΑ. πεδίον τὸ ἅρμα, τὸ ἢ ἅρμα πόλις τῆ βοιωτίας ὀνομασθῆσα ἀπὸ Ἕ αὐτόθι ἡνίαποθῆναι σὺν τοῖς ἵπποις τὸ ἀμφιαράου τὸ μάντιως ἅρμα σὺν αὐτῷ. ΚΑΙ ΕΙΛΕΣΙΟΝ ΚΑΙ ΥΛΗΝ ΚΑΙ ΕΛΕΩΝ. τὸ πλῆ-

ρον ἑλληνικά, ἅσοι δὲ αὗται πόλεις βοιωτίας, καὶ οὕτω καλοῦνται,

λοῦνται, ἐπεὶ ὑλώδης ὁ τόπος. ΥΛΗ. τὸ σίτωλα ἐπὶ Α
κλεταμένας ἐς τὸ ὕλη οἷον οἰκία ναίων. ΕΥΚΤΙΜΕΝΟΝ.
λακῶς κεκτισμένον. ΠΤΟΛΙΕΘΡΟΝ. πόλιν. ΜΕ
ΔΕΩΝΑΣ καὶ τὸν μιδέωνα. ΕΡΥΘΡΑΙ. βαρυτό
νως μὴν, πόλις βοιωτίας. ὀξυτόνως δὲ πόλις ἰωνίας. ὠνο-
μάσθησαν δὲ ἤτοι ἀπὸ ἐρυθροῦ τοῦ ποσειδῶνος καὶ ἀμφι- Β
μιδούσης τῆς λαναοῦ. ἢ ὡς ἕτεροι ἀπὸ ἐρυθρᾶς τῆς πορφυρέω
νος τοῦ σεσίφου. ΕΙΧΟΝ. κατώκουν. ΠΕΤΕΩΝΑ. ἀπὸ πε
τεῶνος τοῦ βοιωτοῦ. ΩΚΑΛΕΗΝ. ἀπὸ τοῦ παραῤῥέοντος
ποταμοῦ, καλεῖται δὲ νῦν ἀκάλεια. ΜΕΔΕΩΝΑ.
ἀπὸ μιδεῶνος τοῦ πυλάρτου. ΚΩΠΑΣ. πόλεις βοιωτί-
ας, ἀπὸ κωπεῶνός τινος ἥρωος, παρ' ὃν καὶ λίμνη κω- Γ
παΐς. ΠΟΛΥΤΡΗΡΩΝΑ. πολλὰς τριετηρίδας ἔχου-
σαν. τριήρωνδε καλοῦνται αἱ τριετηρίδες. ἀπὸ τοῦ τριῶν
δύναλαβεῖσθαι, ἀλαλὸν γὰρ τὸ ζῶον. ΘΙΣΒΗ αἱ νῦν
πληθυντικῶς λεγόμεναι βίσβαι. ΚΟΡΩΝΕΙΑΝ.
ἀπὸ κορώνης τοῦ βορεαδάρτου. ΠΟΙΗΕΝΤΑ. βοτανη-
φόρον σύμφυτον, ἤτοι γὰρ βοτάνη. διὰ τάτα δὲ τὸ ἴυγρον Δ
παρέχουσιν αὐτῆς. ΠΛΑΤΑΙΑΝ. τὰς πλαταιὰς ἀπὸ
πλάτης τῆς ὀγχηστοῦ. ΕΧΟΝ. ἔχον, ἄκλιν. ΓΛΙΣ-
ΣΑΝΤΑ. τροπαροξυτόνως ὡς γίγαντα. ΥΠΟ ΘΗΒΑΣ.
θῆβαι ἀπὸ θήβης τῆς ἀσωπὸ τοῦ ὀπτοπίου ποταμοῦ. ὑποθήβας
δὲ τὰς ὑλάτζωθήβας, ὑλατζωμένας ὕστερον ὑπὸ τῶν ἐπιγό
νων. ἐπόρθησαν γὰρ αὐτὰς οἱ τῶν ἑπτὰ ὑπὸ θήβας στρατευ- Ε
σάντων παῖδες ἐπιλοιποῦντες παρρήσιαν ὕβρεως. ἕτεροι δέ
φασιν ὑποθήβας λέγεσθαι ποιητὴν τὰς ὑποκειμένας ταῖς
ἑπτὰπύλοις θήβαις κώμας, αὗται γὰρ αἱ θῆβαι ἐκπεπολυώ
κηνται. ΟΓΧΗΣΤΟΝ. τόπος δὲ βοιωτίας ἱερὸς πο-
σειδῶνος, εἴρηται δὲ ἀπὸ ὀγχηστοῦ τοῦ βοιωτοῦ. ΠΟΣΕΙΔΗ
ΟΝ. ποσειδῶνος ἱερόν. ΑΓΛΑΟΝ. παλόν. ΑΛΣΟΣ.

πᾶς

Α πᾶς τόπος σὺν ὕδατος ὕδωρ ἔχων καὶ βιοτὶς ἀφηρημένῳ ἄλσος καλεῖτο. ΠΟΛΥΣΤΑΦΥΛΟΝ. πολυσταφύλου. ΑΡΝΗΝ. πόλιν βοιωτίας ἀπὸ ἄρνης. ἧς καὶ πολεμῶνος βοιωτὸς. οἱ δὲ ὅτι οὐχ εὑρίσκετο κατὰ τοὺς φωκικοὺς χρόνους ἄρνη πόλις βοιωτίας, ὅθεν οὖσι πιθανῶς μετὰ γράφουσιν ὅτι πολυστάφυλον τάρνην ἔχομ. ΖΑΘΕΗΝ.

Β ἄγαν θέαν. ΑΝΘΗΔΟΝΑ. ἀνθηδὼν, πόλις βοιωτίας ἐν τούτοις ἣν γλαῦκος ὁ θαλάσσιος. ΕΣΧΑΤΟΩΣΑΝ. πῶν οἱ τοῖς ἐσχάτοις μέρεσι βοιωτίας κειμένοις. ΝΙΣΑΝ. βοιωτίας οὐ μεγαλέως, ἔστι δὲ οὐ κατὰ διονύσιον περιφανὴς ἱερόν. ΤΩΝ ΜΕΝ. τέτομμεν. ΝΕΕΣ. πλεῖα. ΒΑΙΝΟΝ. ἔβαινον. ΝΑΙΟΝ. ὄκνει. ΑΣ-

Γ ΠΛΗΔΟΝΑ. ὠνόμασαι ἀπὸ ἀσπληδόνος τοῦ πρίσβωνος, ἔστι δὲ βοιωτίας μὲν ὀρχομενίων γῆς, καλεῖτο νῦν δὲ ἀλίλος. ΑΖΕΙΔΑΟ. ἀζιῶς παιδὸς. ΑΙΔΟΙΗ. αἰδοῦς ἀξία καὶ τιμῆς. ΟΡΧΟΜΕΝΟΝ ΜΙΝΥΕΙΟΝ. τὸ οὖ τῆς βοιωτίας λέγει ὀρχομενὸν τὸ ὑπὸ μινύου βασιλευθέντα. τὸ ὀνομασθέντα ἀπὸ ὀρχομενοῦ τοῦ διὸς υἱοῦ, καὶ ἐμίμησε

Δ δὲ βοιωτὸς παραφράσαντα αὐτὸν ποταμὸς μινύας ἀφ' οὗ μινύαι ἐκλήθησαν οἱ τὴν χώραν κατοικοῦντες. ἔστι δὲ καὶ ἕτερος ὀρχομενὸς δὲ ἀρκαδίας, ὃν πολύμηλον καλεῖ ὁ ποιητὴς, καὶ ἕτερος δὲ θεσσαλίας. ΥΙΕΣ ΑΡΗΟΣ. παῖδες ἄρεος. ΔΟΜΩι. οἴκῳ. ΠΑΡΘΕΝΟΣ. ἤτοι παρθενὸς νομιζομένη τοῖς γονεῦσιν. ΥΠΕΡΩΙΟΝ ΕΙ ΣΑ

Ε ΝΑΒΑΣΑ. εἰς τὸ ὑψηλὸν ἐλθοῦσα τὸ παλάμωον γυναικωνίτης. οἱ γὰρ ἀρχαῖοι ταῖς γυναιξὶν ὑπόρροφες τοὺς θαλάμους κατεσκεύαζον ὑπὲρ τὴν δυσεντυχίας αὐτὰς εἶναι. ΠΑΡΕΛΕΞΑΤΟ. παρικοιμήθη, παρικαθεύδησι. ΛΑΘΡΗ. λαθραίως κρυφίως. ΓΛΑΦΥΡΑΙ. βαθεῖαι, κοῖλαι. ΕΣΤΙΧΟΩΝΤΟ. οὐ τάξει παρηγόοντο. Ο

ΔΕ

ΔΕ ΟΙ. οὗτος δὲ αὐτὴ, ὁ δὲ αὐτὸ τὸ χῆ. ΑΥΤΑΡ ΦΩ Α
ΚΗΩΝ. τῶν δὲ φωκίων. διχῶς δὲ γράφεται φωκίων, καὶ
φωκάων, τοὺς δὲ φωκέας, οἱ μὲν ἀπὸ φώκης τοῦ θαμάθης καὶ
αἰακοῦ, οἱ δὲ, τοῦ ποσειδῶνος καὶ προνόης τῆς ἀσωποῦ. ΗΡ-
ΧΟΝ. ἡγοῦντο. ΥΙΕΣ ΙΦΙΤΟΥ. σχέδιος ὁ ἱππότης
φος. ΝΑΥΒΟΛΙΔΑΟ. ναυβόλης παιδὸς ἰφίτου. ΚΥΠΑ 23
ΡΙΣΣΟΝ. πόλιν φωκίδος, ὠνομάσθαι δὲ ἀπὸ κυπαρίσ Β
σου τοῦ ὀρχομενοῦ ἀδελφοῦ, ἢ ἀπὸ τῶν οἰκούντων φυομένων ἐν
παρίσῳ. ΠΥΘΩΝ. καὶ αὕτη πόλις φωκίδος. τὸ πρό
τερον δὲ ἐκαλεῖτο παρνασία νάπη, ὡς ἀπὸ τοῦ παρακειμέ
νου ὄρους, ὕστερον δὲ δελφοί, καὶ πυθὼν μετὰ τὸ
πεῖν ἰατισάμενα αὐτόθι ὁ δράκων ὁ τὸ μαντεῖον πρότερον φυ
λάσσων, ὃν ἀπέκτεινε τοξεύσας ὁ ἀπόλλων. πύθεσθαι γὰρ Γ
τὸ σήπεσθαι. ὡς τὸ σίον δ' ὀσία σύσει ἄρρα, ἢ ὡς οἴονται φα
σὶ. διὰ τὸ παραγενομένης αὐτόθι πύθεσθαι, τοὺς αὐθρώ
πους περὶ ὧν ἐβίλευσε. ΚΡΙΣΣΑΝ. πεδίον οὐ λοκρίδι.
ἢ ὡς οἱ πλείονες φασὶν οὐ δελφοῖς ὠνόμασται ἀπὸ κρίσσης τοῦ
συράνου καὶ ἀστροδίας τῆς διονύσου. ΔΑΥΛΙΔΑ.
δαυλὶς πόλις φωκίδος. ἀπὸ δαυλίου ὀνομασθεῖσα τοῦ τυ Δ
ράννου καὶ κρησφόντης. ἢ διὰ τὸ σύμφυτον. δαυλὸν γὰρ τὸ
δασὺ ἔλεγον οἱ ἀρχαῖοι. ΠΑΝΟΠΗΑ. πόλις φωκίδος,
ῥηθεῖσα ἀπὸ πανοπίως τοῦ φώκη. ΑΝΕΜΩΡΙΑΝ. οὗ
τιμιταξὺ κεῖται φωκίδος καὶ δελφῶν, ἱερὸν ὑψηλοῦ τόπου, ὃ
θεν οὕτως ὠνόμασται παρὰ τὸ καταπνεῖσθαι αὐτοῖς σφο
δρῶς. ΥΑΜΠΟΛΙΝ. εἴ τινος ἦκεν τῶν ὑπὸ τὸν αὐτὸν Ε
ἔθνος βαρβάρων οἰκισθεῖσαν πόλιν. ΟΙ ΤΑΡΑ ΠΑΡ
ΠΟΤΑΜΟΝ ΚΗΦΙΣΣΟΝ. οὗτοι ἱπικηφίσιοι λίγον
ται, ὑπὸ δέ τινων παρὰ ποτάμιοι. ὁ δὲ κηφισὸς ποτα
μός ἐστι δελφικὸς ἔχων τὰς πηγὰς ἐκ λιλαίας, ὡς φησὶν
ἡσίοδος. ὅς τε λιλαίηθι προρρεῖ καλλίρροον ὕδωρ. ΔΙΟΝ.

θωμαστόν.

Α θαυμαστόν. ΕΝΑΙΟΝ. ὤκυν. ΑΙΛΑΙΑΝ. πόλις φωκί δος παρακειμένη ταῖς τῶν κηφισσοῦ πηγαῖς. ΕΠΟΝΤΟ. ἠκολούθουν. ΣΤΙΧΕΣ. τάξεις. ΕΣΤΑΣΑΝ. ἐστάθησαν. ΑΜΦΙΕΠΟΝΤΕΣ. περὶ αὐτὸν ὀδυρόντες καὶ ἐπιμέλειαν ἔχοντες. ΕΠΑΡΙΣΤΕΡΑ. ἐκ τοῦ ἀριστεροῦ μέρους. ΕΜΠΛΗΝ, πλησίον. ΘΩΡΗΣΣΟΝΤΟ. καθοπλίζοντο. ΛΟΚΡΩΝ ΔΗ ΓΕΜΟΝΕΥΕΝ ΟΙΛΗΟΣ ΤΑΧΥΣΑΙΑΣ. λοιπῶν δὲ μέμνηται, τῶν ἐπικουρησάντων Ἰλιακοῖς, οὗτοι γὰρ αὐτικρὺς δὴ οἰκοῦσιν τῆς Ἴλιον πεποίηνται, οἱ νῦν τῷ αἴαντι ὄντες. ἐσὶ δὲ καὶ ἕτεροι λοκροὶ ἐπικαλούμενοι ὀΐζολαι περὶ τὴν αἰτωλίαν ἀπὸ τῆς ἐπάρας πλουρᾶς οἰκοῦντες κατὰ τὸ περισσαῖον πεδίον κυκλοῦσι τὸν ἀπὸ τῆς αὐτόθι ῥίονος ὕδατος πολαμὸν, ὃν ἐποίησαν οἱ ἰχῶρες συσάδην τῆς πολαύρας τῆς ὑπὸ ἡρακλέους βαθυόλου, ὅπου νῦκα διώκων δηϊτάν φραγμὸν οἰνέως καλὰ τὴν σύηνον πολαμὸν ἐπιχείρει βιάζεσθαι. ἢ ὅτι ὡσὶν αἰγονόμοις τὰς πλοράς τῆς βοσκημάτων συσάδας ὅσας μὴ ἀβυρσοῦντες ἀμφυόνυντες. τὰ τῶν ἢ ἄποικοί εἰσιν ἕτεροι λοκροὶ οἱ ἐπιζεφυρίοι καλούμενοι διὰ τὸ ἐπὶ ζεφυρίῳ ὄρει τῆ Δ ἰταλίας παροικεῖν. ΗΓΕΜΟΝΕΥΕΝ. ἦγέτει. ΜΕΙΩΝ. μικρότερος, ἰλάτταων. ΟΥΤΙ ΤΟΣΟΣ. ὀλιγόσωμος τῷ μεγέθει τῆς σώματος καὶ τῇ δυνάμει. ΟΣΟΣ. ὁπόσος. ΟΛΙΓΟΣ. μικρὸς ποσότης ἀντὶ τοῦ ὀλιγόσωμος. ΜΕΙΩΝ ΟΥΤΙ ΤΟΣΟΣ ΓΕ ΟΣΟΣ ΤΕΛΑΜΩΝΙΟΣ ΑΙΑΣ. ΑΛΛΑ ΠΟΛΥΜΕΙΩΝ ΟΛΙΓΟΣ Ε ΜΕΝ ΕΗΝ ΛΙΝΟΘΩΡΗΞ. ΕΓΧΕΙΗ ΔΕ ΚΕΚΑΣΤΟ ΠΑΝΕΛΛΗΝΑΣ ΚΑΙ ΑΧΑΙΟΥΣ. ἀθετοῦσι. γ. ὅτοι σίχοι, ὡς μὴ γνήσιοι τῆς ποιητοῦ πρώτου μέν ὅτι ὁ μὲν μικρότερος ὁ ὀϊλίως αἴας τοῦ τελαμῶνος. φησὶ γὰρ οὐ ἑτέροις δὲ ποιήσας, αἴας δ' οὐκ ἔτι πάμπαν ὀϊλῆος ταχὺς ἰὸς ἦσατ' ἀπ' αἴαντος τελαμωνίαδεω. ὁ δ' ἥμαρτε. ἀλλ' ὅστ' ὀνίγε

οἰνοῦ βόες οἶνοπι πωλέοντ' ἄροσιν ἶσον ὑμῖν ἔχοντι τιτάνοντον. ἴσχε δ' ὅτι ἐκ οἴδιον λινοῦς θώρηκ ἐχωμλίνες τὲς ἕλληνας ὁ ποιητὴς. ψιλὸς δ' ἡ τὸ ἐγχείη δ' ἑκάστῳ παυσίλλην. ΛΙΝΟΘΩΡΗΞ. λινᾶν θώρακα ἔχων, ἢ γὰρ τοξότ' λινᾶν θώρακας φορέσιν. ΕΓΧΕΙΗ. τῇ διὰ δύρατος μάχῃ. ΕΚΑΣΤΟ. ἑκατόσμητο, οἰκία. ΠΑΝΕΛΛΗΝΑΣ. αὐτὶ δ' πάντας τὲς ἕλληνας. ΚΥΝΟΝ ΟΠΟΕΝΤΑΤΕ. κῦνος ἡ ὄπας, πόλις δ' λοκρίδος, ἄρκτ' ἢ ἀπὸ κύνη δ' λοκροῦ. ΚΑΛΛΙΑΡΟΝ ΤΕ. ἀπὸ καλλιάρᾳ δ' ὀποῦντος. ΒΗΣΑΝ. οὕτως ὠνόμασαι διὰ τὸ σύμφυτον εἶναι τὸ χωρίον, πάντδε γὰρ οἱ σύνδενδροι τόποι κρεμάλισμα δ' ὀρῶμβῶσαι λίγοντ'). ΣΚΑΡΦΗΝ. οὕτως ὠνόμασαι ἀπὸ σκάρφης ἢ ἄσσενος μυρός. ΑΥΓΕΙΑΣ. ἀπὸ αὐγάσας τινὸς ἐν χωρίῳ νύμφης, ἤκιτι ἢ οἰκᾶτ'). ΕΡΑΤΕΙΝΑΣ. ἐπιράσης, καλὰς, ἡ ἐπιθυμίας ἀξίας. ΤΑΡΦΗΝ. οὕτως ὠνόμασαι διὰ τὴν δασύτητα ἢ ὕλης, ταρφία γὰρ τὰ συνεχῆ. ΘΡΟΝΙΟΝ. ἀπὸ θρονίας νύμφης οὕτως ὠνόμασαι. ΒΟΑΓΡΙΟΥ ΑΜΦΙΡΕΕΘΡΑ. περὶ τὰ δ' βοαργίη ῥεύματα. ὁ δ' βοάγριος ποταμὸς δ' λοκρίδος. ΠΕΡΗΝ. πίφαν. ΕΥΒΟΙΑ. νῆσος παρακεμένη τῇ ἀττικῇ ἡ βοιωτίᾳ ἡ φωκίδι ἡ λοκρίδι, ἥτις ἡ μάκρις ἐκαλήτο, ἥτοι διὰτὸ ἐκ μήκος κῆσθαι. ἀπὸ μακρίδος νύμφης δ' ῥοφᾶ ἥρας, ὠνομάσθη ἡ εὔβοια ἀπὸ εὐβοίας δ' ἀσωπᾶ. ΜΕΝΕΑ ΠΝΕΙΟΝΤΕΣ. θυμῷ ἡ δυνάμως πνέοντες. τετίσι γήμοντες. ἐαρσανίοι. ἄβαντες ἦ οἱ ἀπὸ εὐβοίας ἀπὸ ἄβαντος δ' ποσφθένος βασιλίως αὐτῶν. ΧΑΛΚΙΔΑ. χαλκὶς πόλις εὐβοίας. ΕΙΡΕΤΡΙΑΝΤΕ. ἡ τὴν ἱρίβριαν. ἔρκτ' ἢ ἀπὸ ἱρίβριος δ' φαίθοντος. ΙΣΠΙΑΙΑΝ. αὖτι πρότερον ἐκαλήτο ἱαλανδία, ὕστερον ἦ ὅτων προσηγορεύθη ἀπὸ ἱσπείας δ' ὑφίως. ΚΗΡΙΝΘΟΣ. πόλις εὐβοίας ἐκπεθαλάσιος. ΕΦΑΛΟΝ. παραθαλάσιον. ΔΙΟΥ ΤΑΙΠΥ ΠΤΟΛΙΕΘΡΟΝ. τὸ ὑψηλὸν κρεμέγιστον. καλεῖτ' δ' ἡ κρὶ δίων πλουσιακῶς.

Α ἔρηται δὲ ἀπὸ δίκης τοῦ παυσάνου. ΚΑΡΥΣΤΟΝ. πρὸς τὴν σύβοιαν. ΝΑΙΕΤΑΣΚΟΝ. ὄκνον ΟΖΟΣ ΑΡΗΟΣ. ἀπόγονος ἄρεως. πολιμικός. ΧΑΛΚΩΔΟΝΤΙΑΔΗΣ. χαλκώδοντος παῖς ἰλιφάνωρ. ἔρηται δὲ προλαπτικῶς τὸ ὄνομα ὡς ἔθος τοῖς παλαιοῖς τιθέναι τοῖς παισὶ. παρὰ τὸ ἰλιφαίρεσθαι αὐτὸν μὴ βλάπτειν τοὺς σύμ-
Β τίους· ΜΕΓΑΘΥΜΩΝ. μιγαλοψύχων. γενναίων. ΑΡΧΟΣ. ἄρχων. ἡγεμών. ΟΠΙΘΕΝ ΚΟΜΟΩΝΤΕΣ. τὰ ὀπίσω μέρη δὲ πιφαλῆς κομῶντες σὺν δέρας χάριν. ἴδιον δὲ τοῦτο δὲ τῶν σύβοιων πουρᾶς τὰς ὄπισθεν βρίχας βαθέας ἔχειν. ΑΙΧΜΗΤΑΙ. πολιμικοὶ μαχηταί. ΜΕΜΑΩΤΕΣ. προθυμούμενοι. ΟΡΕΚΤΗΣΙ ΜΕΛΙΗΣΙ. τοῖς ἐγχερῶν δόρασιν οἷς ὁρίγνυμι ἐχρῶντο. συνισάμενοι, ἤγουν ἐκτείνοντες αὐτά. ἐξ οὗ βαρσάλιοι. ὀρέξασθαι γάρ ἐστι τὸ ἐκ χειρὸς πατάξαι. ΜΕΛΙΗΣΙ. δόρασιν ἀπὸ μελίας ξύλου γινομένοις. ΡΗΞΕΙΝ. διαῤῥῆξαι. ΔΗΙΩΝ. πολιμίων. ΑΜΦΙ ΣΤΗΘΕΣΣΙ. περὶ τοῖς στήθεσιν αὐτῶν. ΟΙΔΑΡΑΘΗΝΑΣ ΕΙΧΟΝ. αὐτὶ τοῦ ὤπλων. ἀθήνας δὲ νῦν λέγεσθαι τὴν πόλιν. τοὺς δὲ δήμους παρέλιπε διὰ τὸ πλῆθος. ἢ διὰ τὸ μὴ δύνασθαι πάντας εἰς μεγαλοπρέπειαν διατατανῆναι. ΔΗΜΟΝ. ὄχλον. ΕΡΕΧΘΗΟΣ. τοῦ βασιλέως τῶν ἀθηναίων τοῦ καὶ ἐμφυχθονίου λεγομένου. γεννηθέντος ἐκ τοῦ Δ φαύστου. οὕτως γὰρ ἐδόκουν τὸν ἀθηνᾶν, ἐρῶν αὐτῆς, ἢ διώκειν
Ε γε. ὡς δὲ ἐγγὺς αὐτῆ ἐγένετο πολλῇ ἀνάγκῃ. ἦν γὰρ χωλός, ἐπειράτο συνελθεῖν. ἡ δὲ ὡς σώφρων καὶ παρθένος ὡς οὐκ ἀνέχετο, ἀπισπέρμηνεν εἰς τὸ σκέλος δὲ θεοῦ. ἡ δὲ μισαχθέσα, ἐρίῳ ἀπομάξασα τὸν γόνον, ἔῤῥιψεν εἰς γῆν. ὅθεν ἐμφυχθόνιος ὁ ἐκ τῆς γῆς ἀναδοθεὶς παῖς κατάτινα ἑτυμολογίαν ὡς ἀπὸ τοῦ ἐρίου καὶ δὲ χθονὸς. ἱστορεῖ καλλίμαχος

ὁ ἱκάλιε

δικάλη. ΜΕΓΑΛΗΤΟΡΟΣ. μιγαλοψίχη. γενναία Α
ΑΘΗΝΗ. ἀθηνᾶ. ΖΕΙΔΩΡΟΣ. ἡ τὰ πρὸς ζωὴν
λωρήματ' ἡ γῆ. ΑΡΟΥΡΑ. ἡ γῆ παρὰ τὸ ἀροῦσθαι.
ΚΑΔΔΕΝ ΑΘΗΝΗ ΣΕΙΣΕ. καθίδρυσι ἢ αὐτὴ ἀθήνη
σιν οὐ τῷ ἰδίῳ αὐτῆς ἱερῷ ἡ θεός. ἀκολούθως φυλάττειν ταῖς
πάτραις θυγατράσιν. ΕΩΙ ΕΝΙ. οὐ τῷ ἰδίῳ. ΠΙΟ
ΝΙ. αὐτὴ τῷ πλουσίῳ καὶ εὐδαίμονι. ΝΗΩΙ. ναῷ. Β
ΕΝΘΑ. ἐκεῖ οὐ ταῖς ἀθήναις. ΜΙΝ. αὐτὸν τὸν ἱππόβοτα. ΑΡΝΕΙΟΙΣ. ἀρνοῖς. ἠρίοις. ΙΛΑΟΝΤΑΙ. ἐξ
ομολογίζονται. ἐξιλεοῦνται. ΚΟΥΡΟΙ ΑΘΗΝΑΙΩΝ
οἱ ἀθηναῖοι περιφρασικῶς. ΠΕΡΙΤΕΛΛΟΜΕΝΩΝ.
ἀπὸ τοῦ αὐτοῦ ἴσως τὰ περίοδον περιερχομένων καὶ τελευτώ
των. ΕΠΙΧΘΟΝΙΟΣ. ἐπίγειος. ΚΟΣΜΗΣΑΙ. Γ
διατάξαι. καθοπλίσαι. ΑΣΠΙΔΙΩΤΑΣ. ὁπλίτας
ΟΙΟΣ. μόνος. ΕΡΙΖΕΝ. ἐφιλονείκει. ἐζήτουν.
ΠΡΟΓΕΝΕΣΤΕΡΟΣ ΗΕΝ. παλαιότερος ὑπάρ
χων. ΕΚ ΣΑΛΑΜΙΝΟΣ. σαλαμὶς νῆσος πρὸς τῇ Ἀτ
τικῇ. ἔθεν ἦν αἴας ὁ τελαμώνιος. ΑΓΕΝ. ἤγαγον. ἤφερε.
ΦΑΛΑΓΓΕΣ. τάξεις. ΑΡΓΟΣ. τὴν πελοποννη Δ
σον. ΤΙΡΥΝΘΑ. πόλιν ἄργους. ΤΕΙΧΙΟΕΣ
ΣΑΝ. τὴν καλῶς τετειχισμένην. ἐπεὶ ἐδοκεῖ ὑπὸ κυ
κλώπων τετεῖχίσθαι. ΕΡΜΙΟΝΗΝ ΑΣΙΝΗΝ ΤΕ
πόλεις τοῦ ἄργους, ἤτοι δὲ ἡ ἑρμιόνη ἱερὰ πόρσιφόνης. ΒΑ
ΘΥΝ ΚΑΤΑ ΚΟΛΠΟΝ ΕΧΟΥΣΑΣ. τὰς βα
θὺν κατιχούσας κόλπον. κόλπος δέ ἐστι θάλασσα ὑπὸ ἀ Ε
κρωτηρίων περιεχομένη. ΤΡΟΙΖΗΝΑ. ῥοΐζηνα ἀπὸ ῥοι
ζήνος ἰὼν πόλεως. ΗΙΟΝΑΣ ΤΕ. οἱ παλαιοὶ οὕτως.
ΑΜΠΕΛΟΕΝΤΑ. πολυάμπελον. οἰνοφόρον. ΕΠΙ
ΔΑΥΡΟΝ. πόλιν ἄργους, οὐ τοῖς παραθαλασσίοις μέρε
σι κειμένην. ΑΙΓΙΝΑΝ. νῆσον πρὸ τῆς Ἀττικῆς. ἐκα

Α λεῖτο δὲ πρότερον οἰνώνη, ὕστερον δὲ αἴγινα ἀπὸ αἰγίνης τῆς
ἀσωπῦ μιᾷ θυγατρὸς, ἀιακοῦ δὲ μήτηρ. ΑΓΑΚΛΕΙ-
ΤΟΥ. πάνυ ἀνόξ. ΚΙΕΝ. ἱπορύοιτο. ΙΣΟΘΕ-
ΟΣ ΦΩΣ. ἰσόθι ἀνὴρ. τὸ δὲ φῶς ὀξυτονούμενον τὸν ἄν-
Ε θεασάμενος αὐτὴν κλαύσαν, καὶ λυπήσας, ἱπέταξε τοῖς ἀνέμοις, καθ' ὃν ἂμ καιρὸν ἡ ἀλκυόνη τίκτῃ μὴ πνεῖν, μέχρις ἂν αἱ σκαιρὸν ἡμερῶν τ' χειμῶνος αὐξανομένου, ἔρπτῃ δὲ ἀλκυών, παρὰ τὸ σὸν ἀλκυέαν, οἱ ἂμ γονεῖς ἀπὸ τ' αὐτῆ συμβιβηκότων ἔτως ἱκάλαν αὐτὴν κλισπάδαν, ὡς μεγαπόσθην, καὶ σύρυσάκην καὶ κεπτόλεμον, ἱκλαιν ἂμ τ' αὐδρα

ἴλαν,

ἴδαμ, ὅτι αὐτὴν ἥρπασεν ἀπόλλων. ΠΟΛΥΠΕΝΘΕ- Α
ΟΣ. ἱκανὸν πενθοῦσα. ΟΙΤΟΝ. μέρος συμφορᾶς. ΠΑΡ-
ΚΑΤΕΛΕΚΤΟ. παρίκετο. ΠΕΣΣΩΝ. πεπάνυσαι. πα-
ρηγορῶν, ἢ σωίχων. ΕΞ ΑΡΕΩΝ ΜΗΤΡΟΣ ΚΕΧΟ-
ΛΩΜΕΝΟΣ. διὰ τὰς δὲ μητρὸς κατάρας ὠργισμένος.
ΑΧΕΟΥΣΑ. λυπημένη. ΚΑΣΙΓΝΗΤΟΙΟ ΦΟ-
ΝΟΙΟ. διὰ τὸν φόνον τὸν ἀδελφῶν, ἀπέκτειναι μὲν γὰρ μειλί-
χρους τοὺς μήνας, ἢ αὐτὶ τοῦ ὑπὲρ ἰσοσυνετικῆς φόνου, ἢ γὰρ Β
ἐς ἦμαρ ὁ αὐτομήνιος δὲ ἀληθείας ἀδελφός, ἀλλὰ πλείους, ἴφι
κλος, πολυφάντης, φαύης, σύβοτλος, πλήξιππος. ΠΟ
ΛΥΦΟΡΒΗΝ. πολλὰς βόσασαν, ὅθεν καὶ ἱπποφόρβια κα-
λεῖται τὰ ἵππους βόσοντα χωρία. ΧΕΡΣΙΝ ΑΛΟΙΑ.
ταῖς χερσὶν ἴτυπτον, ὅθεν καὶ παραλοίας ὁ πατὴρ τύ- Γ
πτων, ἴυχοντο δὲ οἱ ἥρωες τοῖς μὲν ἀρνίοις θεοῖς αὖτας τὰς
χεῖρας αἴσχοντες, μεγάλ' ὀχετόωντο ἵππους, τοῖς δὲ θα
λασσίοις, πολλὰ δὲ μητίσει φίλῃ ἠρήσατο χεῖρας ὀργυῖς, ἐς
θάλασσαν ἁλιόνοτι, τοῖς καταχθονίοις δὲ κόπτοντο τῇσι
γῆν, ἃς οἰθάδι φυσί. ΚΙΚΛΗΣΚΟΥΣΑ. ἱππαλεμένη.
ΕΠΑΙΝΗΝ. φοβεράν. ΠΡΟΧΝΥ. εἰς γόνατα. ΔΕΥ Δ
ΟΝΤΟ. ἐβρίσκοντο. ΗΕΡΟΦΟΙΤΙΣ ΕΡΙΝΝΥΣ.
ἡ τὸ σκότος ἐρχομένη, ἀόρατος, ἅρπτα δὲ ἐρινύς, ἤτοι
παρὰ τὸ οὐ τῇ ὁρᾶσθαι καὶ οἰκεῖν, ὅ ἐστι τὴν γῆν, καταχθονίας
γὰρ ἃς δαίμονας, ἢ ὅτι νὺξ ἀράντις οὖσα καὶ τὰ ἄδικα αὐξή-
σασα καὶ ἐκτελέσασα. ΕΞΕΡΕΒΕΥΣΦΙΝ. ἐκ τοῦ σκότους.
ΑΜΕΙΛΙΧΟΝ. ἀπηνές, σκληρόν. ΠΙΟΤΑΤΟΝ. Ε
λιπαρώτατον, σύχνοτατον. ΠΕΝΤΗΚΟΝΤΟΓΥΙΟΝ.
ποστήκοντα γηῶν ὅ ἐστι πλέθρων, γῆμις γὰρ μέτρον γῆς, ὃ
δὲ ποστήκοντα ζευγῶν. ΟΙΝΟΠΕΔΟΙΟ. ἀμπελοφύ-
τευτον χωρίον. ΨΙΛΗΝ ΑΡΟΣΙΝ. τὴν ἄδενδρον χώρα-
τὴν πρὸς τὸ σπείρασθαι ἐπιτηδείαν. ΤΑΜΕΣΘΑΙ.

ἀπιτμᾶσ-

Α ἀποτιμᾶσθαι, εἰς τιμὴν λαβεῖν. ΕΠΕΜΒΕΒΑΩΣ. ἐπὶ βεβηκώς. ΣΕΙΩΝ. τινάσσων, κινῶν. ΚΟΛΛΗΤΑΣ ΣΑΝΙΔΑΣ. πιμπρασικῶς τὰς θύρας ἀπὸ τοῦ καλῶς σωπρμόσθαι. ΓΟΥΝΟΥΜΕΝΟΣ. ἱκετεύων. ΚΑΣΙΓΝΗΤΑΙ. ἀδελφαί. ΚΕΔΝΟΤΑΤΟΙ. κηδεμονικώτατοι, προσφιλίστατοι. ΠΥΚΑ. σωρηχῶς, πυκνῶς, ἢ ἐπιμε-
102 λῶς. ΕΝΕΠΡΗΘΟΝ. ὑπεπύρισον, ἐπαιον. ΚΗΔΕ. τὸ τέλειον κήδια, ὅ ἐστι πανά. ΑΛΩΗ. ληφθέη, πορθηθέη. ΑΜΑΘΥΝΕΙ. κατὰ μικρὸν λαπανᾷ, ὅ ἐστιν ἄμαθον κὴ πόνιμ ποιεῖ. ΩΡΙΝΕΤΟ. αὐτὶ τοῦ ὠρίνθη, λιτανεύχθη. ΚΑΚΑ ΕΡΓΑ. τὰ πολέμια φησὶ πανὰ ἔργα. ΒΗ
Β ΔΙΕΝΑΙ. ἐφορμήσας ἐπῆλθον. ΕΞΑΣΩΙ ΘΥΜΩΙ. νικηθεὶς ὑπὸ ἰδίας ἐπιθυμίας. ΦΙΛΟΣ. φίλε ἀττικῶς. ΚΑΚΙΟΝ. αὐτὶ τοῦ πακόν. ΦΘΙΣΗΝΟΡΑ. ἡ φθαρτικὴν τῶν ἀνδρῶν. ΔΥΗΙΣ. διατίλθης. ΤΙΜΗΣ ΕΣΕΑΙ. τιμηθήσῃ, ἢ τίμιος ἔσῃ. ΑΛΑΛΚΩΝ. βοηθήσας, ἐπαμύνας. ΑΤΤΑ. πρόφ, θεῖπαλιν ἢ φωνή, ηκὲ ἔστι προσφώνησις νεωτέρα πρὸς πρεσβύτερον, τοῦτο δὲ ἀπὸ
Δ βιβάσαντος, τίτλα λέγεται ὃ ἐστιν ἑταῖρε. ΟΥΤΟΙ ΜΕΤΑΥΤΗΣ ΧΡΕΩ ΤΙΜΗΣ. ἐχρεάν ἔχω ἢ τε τῶν ἑλλήνων ηκὲ ἢ ἀγαμέμνονος τιμῆς, ηκὲ ἔστι σολοικισμὸς παρὰ τὰς πτώσεις. ΦΡΟΝΕΩ. φρονῶ, βελεύομαι. ΔΙΟΣ ΑΙΣΗι. τῇ τοῦ λιὸς βελήσει. ΑΥΤΜΗ. αὐαπνοή, ζωή. ΟΡΩΡΡΗι. κινήτῃ. ΣΥΓΧΕΙ. ταράττει, λύπῃ. ΑΧΕΥ
Ε ΩΝ. λυπούμενος. ΑΠΕΧΘΗΑΙ. ἐχθρὸς γένεσθαι. ΚΗΔΕΙΝ. λυπεῖν, βλάπτειν. ΙΣΟΝ, ὁμοίως. ΜΕΙΡΕΟ. μερίζει. ΟΥΤΟΙ ΔΑΓΓΕΛΕΟΥΣΙ. διατὶ ἡ φοίνικα ἐκ ἀπολύει ὁ ἀχιλλεύς, ὅτι γὰρ παρακεκλῆσθαι αὐτὸν ὑπὸ γήρως καὶ τῆς πρεσβείας ἐφοβήθη μὴ μετὰ μείζονος λοιδορίας πάλιν ἐπιμφθῇ, ηκὲ δίκης ἀτιμάζειν ἀνάγκην ἔχει. ὁ δὲ γήρως

ὁμολογεῖ

ὁμολογούμενον αὐτὸ λαμβάνειν. ὅτι ὡς φορίαι αὐτὸν κα Α
τέχει. ΛΕΞΕΟ. κατακλίνητι. ΜΑΛΑΚΗΙ. ἁπα
λῇ. ΕΦΗΜΕΤΕΡΑ. αὐτὶ τοῦ ἁς τὰ ἡμέτερα. ΣΤΟ
ΡΕΣΑΙ. φρῶσαι. ΠΥΚΙΝΟΝ. πυκνὸν ἱμάτιον.
ΜΕΔΟΙΑΤΟ. φρόνιαν ποιήσαιντο. φροντίσαιν. ΜΥ
ΘΟΙΟ ΤΕΛΕΥΤΗ. τὸ τέλος τοῦ λόγου. ΚΡΑΝΕΕΣ
ΘΑΙ. τέλος λήψεσθαι. τελεωθήσεσθαι. ΜΕΤΑΤΡΕ Β
ΠΕΤΑΙ. ἐπιστροφὴν ποιεῖται. φροντίζει. ΝΗΛΗΣ. αὐη
λὴς. σκληρός. ΠΟΙΝΗΝ. αὐτίκρισιν. τιμωρίαν ἵνα
βιτὶς ὑπὲρ ἀδελφικοῦ φόνου. ΑΛΛΗΚΤΟΝ. ἀπατᾶ
παυσον. ἀθῳάπουτον. ΕΙΝΕΚΑ ΚΟΥΡΗΣ ΟΙΗΣ.
ἄτοι ὁποίας, ἐρωτικῶς. ἡμιᾶς κόρης. ΕΠΙΤΗΙΣΙ. πρὸς
ταύτας. ΙΛΑΟΝ. ἵλεων. δύμενῆ. ΕΝΘΕΟ. ποίη Γ
σον. ΑΙΔΕΣΣΑΙ. αἰλίσθητι. ΜΕΛΑΘΡΟΝ. συ
νεπλοχικῶς οἰκίαν. ΥΠΩΡΟΦΙΟΙ. ὑπὸ τὴν αὐτὴν φύ
γην. ΚΗΔΙΣΤΟΙ. οἰκειότατοι. φροντιστικώτατοι.
ΠΑΝΤΑ ΤΙ ΜΟΙ ΚΑΤΑ ΘΥΜΟΝ ΕΕΙΣΩ.
ἅπαντά μοι καθηκόντως ἐλοξας ἐρηκούσαι. ΟΙΔΑΝΕ
ΤΑΙ. πληροῦτη ὑπὸ ὀργῆς. ἐκμεταφορᾶς τὸ φλεγμονῆς, Δ
ἢ καλεῖται οἴδημα. ΑΣΥΦΗΛΟΝ. ἀσύμφορον. ἀμα
θῆ. οἱ δὲ αὐτὶ τοῦ ἀσυφήλως ὅ ἐστιν ὑβριστικῶς. ΑΤΙΜΗ
ΤΟΝ. ἄτιμον ἢ τὸν οὐ τιμήματι πολιτείας ὁ συναριθμού 103
μενον. τιμητικοὶ γὰρ ἐκαλοῦντο οἱ οὐ ταῖς πολιτείαις. ΜΕ
ΤΑΝΑΣΤΗΝ. μίτοικον. φυγάδα. ΑΠΟΦΑΣΘΕ
ἀπαγγέλατι. ΜΕΔΗΣΟΜΑΙ. φρόνιαν ποιήσομαι. Ε
ΚΑΤΑ ΤΕ ΣΜΥΞΑΙ. κατακαῦσαι. ΣΧΗΣΕΣ
ΘΑΙ. ἀποσχεθῆναι. ΚΩΕΑ. κώλια ὅ ἐστι προβάτων
λίμματα. καὶ εἴρηται ἀπὸ τοῦ ἐγκεῖσθαι. ὅ ἐστιν ἐγκοιμᾶ
σθαι. ΡΗΓΟΣ. τὸ βεβαμμένον ἱμάτιον. καὶ ῥηγᾶς οἱ
βαφεῖς. ΛΙΝΟΙΟ ΤΕ ΛΕΠΤΟΝ ΑΩΤΟΝ. πε

Α θρᾳκικῶς λινοῦν περιβόλαιον. ΜΥΧΩΙ ΚΛΙΣΙΗΣ. οὐ τῷ ὀλιγοστάτῳ τόπῳ ἢ σκηνῆς. ΠΑΡΚΑΤΕΛΕΚΤΟ. παρικοιμήθη. παρικλίθη. ΛΕΣΒΟΘΕΝ. λίσβου νῆσου πλησίον ἀσίας. ΣΚΥΡΟΝ. σκῦρος πόλις ἢ νῦν μεγὴ φρυγίας, πρότερον δὲ κιλικίας. ἔστι δὲ νῆσος τῶν κυκλάδων. ἢν δὲ πορθήσας ἀλλ' εἰρηνικῶς κατεΒ ἀραμὼν ἐλαφυραγώγησεν. ΑΙΠΕΙΑΝ. ὑψηλήν. ΕΝΥΗΟΣ ΠΤΟΛΙΕΘΡΟΝ. ὑπὸ οὐδένος βασιλευθέισαν. ἢν δὲ οὗτος υἱὸς Διονύσου. ΚΥΠΕΛΛΟΙΣ. ποτηρίοις. παρὰ τὴν κοιλότητα. ΑΝΑΣΤΑΔΟΝ. ἀναφαίτις ΠΟΛΥΑΙΝΕ. πολλοῦ ἐπαίνου ἄξιε. ΑΠΕΞΙΠΕΝ. ἀπηγόρευσεν. ΣΒΕΣΑΙ. καταπαῦσαι. ἡμιταφορὰ ἀΓ πὸ τοῦ πυρός. ΠΙΜΠΛΑΝΕΤΑΙ ΜΕΝΕΟΣ. πλησθῆναι ὀργῆς. ΣΕ ΔΑΝΑΙΝΕΤΑΙ. σὲ δὲ παραπείθουσι δὲ ὀλυσσεύς, ἀλλ' ἃ πρὸς αὐτὸν ἔπεμψεν ὁ ἀχιλλεὺς ταῦτα ἀναγγέλλει. ῥητέον δὲ διατὶ ηκει πρὸς πάντα ἀχιλλέως ἀπόκρισιν οὐδενὸς ἀντέλεγεν. ῥητέον οὖν ὅτι σκληρῶς αὐτῷ ἀπεκρίνατο.Δ λεκτέον δὲ καὶ πρὸς τοὺς ῥητοῦντας τίνος ἕνεκεν ἄλλοι τινὲς ἐκ ἐπρεσβεύσαν, ἀλλ' οὗτοι. ὡς οἰκειότεροι τῶν ἄλλων καὶ φρονιμώτεροι καὶ ἱκανοὶ τὸ δυσπειθὲς ἴσως πεῖσαι τὸν ἥρωος. ΗΠΕΙΛΗΣΕ. διωρήσατο. εἶπε. ΧΕΙΡΑΕΗΝ ΥΠΕΡΕΣΧΕΝ. ὑπερασπίζει αὐτῆς. ΔΗΕΤΟΝ. ἐυρήσεις. ἐξ οὗ τινὲς καὶ τῶν λήμμασι δηλοῦσιν.Ε διὰ τὸ τοὺς ὀντυχάνοντας αὐτῇ ῥητοῦσι τὴν θυγατέρα λέγειν ἡμεῖς ὅ ὄψιν εὑρήσεις. ΑΙΑΣ ΚΑΙ ΚΗΡΥΚΕ ΔΥΩ. βέλτιον τὸν ἀγαμέμνονα συνῆφθαι περὶ τῆς πρακτέων ὀνειείρησι τὸν αὐτὰ σιωπᾷν. ΤΕΤΙΗΟΤΕΣ. τετιμωρημένοι. ΜΗ ΟΦΕΛΕΣ. αὐτὶ τοῦ μὴ ὄφελεν. ἀεὶ δὲ αὐτιφασιοῦνται τῶν ἀχιλλέως ὁ διομήδης εὐρίσκει

κεται. ΑΓΗΝΩΡ. ἄγαν αὐθάδης ἠδὲ ὑπερόπλως. ὑβρι Α
στής. ἢ ὁ ἀγαπῶν τὴν ὑπερβίαν ἄγουν τὴν αὐθρείαν. ΑΓΗ
ΝΟΡΙΗΣΙΝ ΕΝΗΚΑΣ. αὐθάδη νῦν ἐποίησας αὐ-
τὸν πλέον ἢ ὑπεφάνου. ΙΗΣΙΝ. ἀπίθης. ΗΚΕ
ΜΕΝΗ. ἡσυχῆ μένῃς. ΤΟΤΕ ΔΑΥΤΕ ΜΑΧΗΣΕ-
ΤΑΙ. ἑπὸς αὖ αὐτὸν καὶ αὐτῷ νόσαντι ὅτι μένει λύτι- Β
ρόν ἐστι προσθῆναι αὐτά. ΤΕΤΑΡΠΟΛΕΝΟΙ. ἀς
πέρθην, ἐλυμηθέτην. κακοπαθέτην. ΤΟ ΓΑΡ ΜΕ-
ΝΟΣ ΕΣΤΙ ΚΑΙ ΑΛΚΗ. τοῦτο γὰρ δυνάμεώς ἐστιν
ΥΠΝΟΥ ΔΩΡΟΝ. ἀνάπαυσιν ὁ ὕπνος περιφραστικῶς.

ΣΧΟΛΙΑ ΕΙΣ ΤΗΝ Κ'. ΤΟΥ ΟΜΗΡΟΥ ΙΛΙΑΔΑ.

104 Α ΑΝΑΧΑΙΩΝ. πάντων τῶν ἑλλήνων. ΠΑΝΥΧΙΟΙ. νῦν τὸ πανύχιοι, ἤ σημαίνει τὸ διόλης νυκτὸς ἀλλὰ τὸ πλεῖστον μέρος τῆς νυκτός. ΜΑΛΑΚΩι. προσηνεῖ. ἁπαλῇ. ΔΕΔΜΗΜΕΝΟΙ. κατεχόμενοι. ΕΧΕ. κατέχων. ΟΡΜΕΝΟΝΤΑ. σὺν νῆϊ ἐχοντα. βαλσούμενον. ΤΕΥΧΩΝ Η ΠΟΛΥΝ ΟΜΒΡΟΝ ΑΘΕΣΦΑΤΟΝ. τῷ πολὺν ἐπάγει τὸ ἀθέσφατον αὐξήσας χάριν, οἷοι δὲ γίγονται μετὰ τὸ ὄμβρον, ἀπὸ ἄλλης ἀρχῆς ἀναγινώσκουσιν. ἵνα ᾖ πολλὴν χάλαζαν. ΕΠΑΛΥΝΕΝ. ἐλύμαινεν. ὡς παλὴ καταπαύεται. οὕτως γὰρ ὀξυτόνως καλεῖται, τὸ ἐπαπαυόμενον λιπαρόμενον τοῦ ἀλύρου. ΠΟΘΙ. δηλ. ΠΤΟΛΕΜΟΙΟ ΜΕΓΑ ΣΤΟΜΑ. ἤτοι μεταφορικῶς τῶν ἀρχὴν τοῦ πολέμου. ἢ περιφραστικῶς ὅλον αὐτόν. διότι πάντων λαπαρτικός. ΠΕΥΚΕΔΑΝΟΙΟ. πικροῦ. ὀλιθρίου. ἀπὸ τῆς πεύκης ἡ μεταφορά. καὶ γὰρ ἡ πεύκη κοπεῖσα ἐκ αὐτῆς βλαστὸς. καὶ τὸ πλάκρυον αὐτῆς πικρότερόν ἐστιν ἢ πίσσα. ΠΥΚΙΝΑ. πυκνῶς. συνεχῶς. ΝΕΙΟΘΕΝ. ἐκ βάθους. κάτωθεν. ΚΡΑΔΙΗΣ. ψυχῆς. ΑΘΡΗΣΕΝ ἀπίδοι. ΘΑΥΜΑΣΕ ΠΥΡΑ ΠΟΛΛΑ. πῶς φησιν ὁ ἀγαμέμνων οὐτὲς τε τέχνης ὑπάρχων, ἐθαύμασε τὰ πυρά

πυρά. τὴν ἀρχὴν μὴ λίθων αὐτὰ διὰ τὸ τέχνης. ἢ καὶ Α
ῥητέον ὅτι ὡς βασιλικὴν ὑφὴν ἔχει σκηνήν. ἢ δύχρῶς δύ
νηται καὶ ταῦτα θεωρεῖν. ΑΥΛΩΝ ΣΥΡΙΓΓΩΝΤΕ
ΝΟΠΗΝ. ἦχον προσληπτέον τὸ ἀκέων. ἐσημειώσατο ἢ
διὰ τὸ ἦχος. ὅτι παρὰ τοῖς βαρβάροις ἐγιγνώσκετο τὰ ὄρ
γανα ταῦτα. ΟΜΑΔΟΝΤ ΑΝΘΡΩΠΩΝ. καὶ οὐ
ταῦθα σκώπτεται τὸ θορυβῶδες τῶν βαρβάρων. ΠΡΟΘΕ Β
ΛΥΜΝΟΥΣ. ἐπ' ἀλλήλους. ἢ προῤῥίζους. θέλυμνα δὲ
κυρίως οἱ θαμνίσκοι. ΥΨΟΘΕΟΝΤΙ ΔΙΙ. λέγει τὸ ἀ
πολυρρόμβῳ. ΚΥΔΑΛΙΜΟΝ. συντόμ. οὐδοξον.
ΝΕΣΤΟΡΕΠΙ ΠΡΩΤΟΝ. πρῶτον ἐπὶ τὸν νέστορα.
ΣΥΜΜΗΤΙΝ. συμβουλήν. ΑΜΥΜΟΝΑ. ἀγαθήν.
ΤΕΚΤΗΝΑΙΤΟ. συγκατασκευάσει, κατόρθωτο. Γ
ΑΛΕΞΙΚΑΚΟΣ. ἀποτρεπτικὸς τῶν κακῶν. ΠΕΔΙ
ΛΑ. τὰ ὑποδήματα. παρὰ τὸ τοῖς ποσὶν εἱλεῖσθαι.
ΔΑΦΟΙΝΟΝ. αὐτὶ τοῦ δαφοινοῦ. φονευτικοῦ. κατὰ
ἀναφορὰν τὴν ἐπὶ τὸ ζῶον, ὡς ἐπὶ ζῶντα γὰρ τὸν λέοντα
τὴν ἀναφορὰν ἔχει τὸ ἐπίθετον. ΕΕΣΣΑΤΟ. περιέβετο
ἀμφίσατο. ΑΙΘΩΝΟΣ. τοῦ θερμοῦ καὶ διαπύρου τὴν Δ
φύσιν. ΠΟΔΗΝΕΚΕΣ. μέχρι ποδῶν διῆκον. μέγα.
ΥΠΝΟΣ ΕΠΙΒΛΕΦΑΡΟΙΣΙΝ ΕΦΙΖΑΝΕΝ. ὁ
ὕπνος οὐ τοῖς βλεφάροις κατελάμβανεν. ΤΟΙ ΔΗ ΕΘΕΝ
ΕΝΕΚΑ. οἵτινες ἕνεκα αὐτοῦ ἦλθον. ΠΟΛΛΗΝ Ε
ΦΥΓΡΗΝ. ἐπὶ πολλὴν θάλασσαν, ἀτρίπτως. ΟΡΜΑΙ
ΝΟΝΤΕΣ. ὀθυμούμενοι. ὁρμὴν ἔχοντες ἐ. ΣΤΕΦΑ Ε
ΝΗΝ. περικεφαλαίαν. ΠΑΧΕΙΗΙ. ἰσχυρᾷ. ΔΗ
ΜΩ. τῷ ἀθροίσματι τῶν ἑλλήνων. ΑΜΦΩΜΟΙΣΙ
ΤΙΘΗΜΕΝΟΝ. περὶ τοῖς ὤμοις θέμενον. ΝΗΙ ΠΑ
ΡΑ ΠΡΥΜΝΗΙ. παρὰ τὴν πρύμνην. ΑΣΠΑ
ΣΙΟΣ. ὑπτιάζων. ἁλύς. ΗΘΕΙ. ἤθικὴ προσφώνησις 105

Α νωτέρω πρὸς πρισβύτερον. ΕΠΙΣΚΟΠΟΝ. κατάσκοπον. ΔΕΙΔΩ. δέδοικα. φοβοῦμαι. ΣΚΟΠΙΑΖΕΜΕΝ. σκοπεῦμεν. ΝΥΚΤΑ ΔΙΑΜΒΡΟΣΙΗΝ. ἀνὰ τὴν νύκτα, οἱ ἐβροτοὶ ὑπροσίασιν. ὅθεν καὶ ἀβρότην ἡνύξ. ΘΡΑΣΥΚΑΡΔΙΟΣ. ὕτολμος. ΧΡΕΩ ΒΟΥΛΗΣ ΕΜΕ ΚΑΙ ΣΕ. χρέα, συμβουλῆς ἐμοὶ ἢ
Β σοί. ἴσι δὲ σολοικισμὸς παρὰ τὰς πτώσεις ἀντὶ τοῦ ἐμοὶ ἢ σοί. ΚΕΡΔΑΛΕΗΣ. συνετὸς. ὠφέλιμος. ἢ ταναργοῦς· παρὰ τὴν περὶ ὧν ἔργον τὴν ἀλώπεκα. ΕΡΥΣΣΕΤΑΙ. ῥύσεται. φυλάξει. ΕΠΕΙ ΔΙΟΣ ΕΤΡΑΠΕΤΟ ΦΡΗΝ ἐπεὶ ὁ Διὸς μετετέθη τῇ γνώμῃ, καὶ τοῖς Τρωσὶ βοηθεῖ. πλέον δὲ τῶν ἕκτορος ἐθεραπεύθη θυσίαις. ΑΥΔΗΣΑΝ-
Γ ΤΟΣ. ἐπάντος. ΜΕΡΜΕΡΑ. μεριμνὴς ἄξια, χαλεπά. ΕΝ ΗΜΑΤΙ. ὁμοίᾳ ἡμέρᾳ. ΜΗΤΙΣΑΣΘΑΙ. ἐργάσασθαι νῦν. ΟΥΤΕ ΘΕΑΣ ΥΙΟΣ. προσηκέστερον τὸ ὕστερον. ΔΗΘΑΤΕ ΚΑΙ ΔΟΛΙΧΟΝ. ἐπὶ πολὺν καὶ μακρὸν χρόνον. ΜΗΣΑΤΟ. ἐργάσατο. ΡΙΜΦΑ. ταχέως. ΕΠΙ ΝΗΑΣ. ἐπὶ τὰς ἐκείνων
Δ ναῦς. ΟΤΡΥΝΕΩ. διὰ παρακλήσεως παρορμῶ. ΙΕΡΟΝ ΤΕΛΟΣ. ἕτοιμόν γε, ἢ ἀπηλλαγμένον τῶν λοιπῶν ἔργων. τέλος δὲ καὶ τὸ τάγμα. σημαίνει πολλαχῶς ἡ λέξις. ποτὲ μὲν γὰρ τὸ τάγμα ὡς ὁπλῶν. ποτὲ δὲ τὸ τὴν συμπλήρωσιν ἔχον πράγματος. ἢ ἔργου τέλος. ποτὲ δὲ τὴν ἐκ τῶν ἐπεισαγομένων ὠνίων φορτῶσαν τοῖς πόλε-
Ε σι πρόσοδον. ποτὲ δὲ τὰς ἀρχὰς καὶ τὰ ἀξιώματα ὡς ἔνεστιν εὑρεῖν παρά τε Βουκυδίδῃ καὶ ξενοφῶντι. ποτὲ δὲ τὸ ἀπαύνημα. ποτὲ δὲ τὴν ἑορτήν. καὶ τὸ τέλος. ΠΥΘΟΙΑΤΟ. πειθέτω. ΤΟΙΟ ΓΑΡ. τούτου γάρ. ΣΗΜΑΙΝΕΙ. προσάσει. ἄρχει. ΕΠΕ ΤΡΑΠΟΜΕΝ. ἐπεστρέψαμεν. θυσίαν ἐπιτελέσαμεν. ΔΕΔΕΓΜΕΝΟΣ

σεσημέ-

πεῖμενον. ΜΕΤΑΣΑΥΤΙΣ. ἐδῆ σὺ πάλιν σύβιος ἦλθω. ΕΠΗΝ ΕΥ ΤΟΙΣ ΕΠΙΤΕΙΛΩ. ἐπεσσὶ ἂμ αὐτοῖς καλῶς προστάξω. ΑΒΡΟΤΑΞΟΜΕΝ. διαμαρτήσομεν, ἀλλήλων ἀποτύχοιμεν, ὅ τινες διαμφοδίσαι φασίν. ΗΚΕΝ ΙΗΣΘΑ ἰαὼ σορυθῆς. ΕΓΡΗΓΟΡΘΑΙ. ἐγρηγορέναι. ΑΝΩΧΘΙ. κίλουι. ΠΑΤΡΟΘΕΝ ΕΚ ΓΕΝΕΗΣ. ὑπὲρ πατρῴων γόνων, ἢ ἀπὸ προγόνων. ΜΗ ΔΕ ΜΕ ΓΑΛΙΖΕΟ ΘΥΜΩι. μὴ δὴ ἐπαίρου τῇ διανοίᾳ δίι ὑπὲρ φανίαν. ΠΟΝΕΩΜΕΘΑ. κακοπαθῶμεν, ὀσφραίνωμεν. ΕΠΙΓΕΙΝΟΜΕΝΟΙΣΙ. γενομένοις. ΙΕΙ. ἴσπιπι. ΚΑΚΟΤΗΤΑ. κακοπάθειαν, δυσχίαν, βλάβην. ΕΝΤΕΑ. ὅπλα, παρὰ τὸ οὗτος αὐτῶν εἶναι τὸν φορεῦντα. ΕΠΕΙ ΟΥ ΜΙΝ ΕΠΕΤΡΕΠΕ ΓΗΡΑΙ ΛΥΓΡΩι. ἐπεὶ ἡ πολλὴ αὐτὸν προθυμία, δδὲ τῷ γήρᾳ αὖσιν ἐδίδα, τοτ' ἴσιν δδὲ κατὰ τὸν γήρως ὀνίκατο ΕΞΕΡΕΙΝΕΤΟ. ἀνῃρῶτα. ΟΡΦΝΑΙΗΝ. σκοτεινὴν. ΟΥΡΗΩΝ. ἡμιόνων, νῦν δὲ φυλάκων. ΖΕΥΣ ΕΝΕΗΚΕ ΠΟΝΟΙΣΙ ΔΙΑΜΠΕΡΕΣ. ὀβριῶν τῇ κακοπαθείᾳ οὐίβαλε μίχει τάλας. ΕΙΣΟΚΑΥΤΜΗ. ἴως οὖ ἀνοή, ὅ ὄσιν ἀβωκὴ τὰ γόνατά μι ἰσχὺν κελὶ ἔῤῥωται. ΠΛΑΖΟΜΑΙ. δδὲ ἰσκεως διανοοῦμαι, πλανῶμαι κατὰ τὴν γνώμην, οἱονεὶ ἀπορῶ ὅπως χρήσομαι τοῖς παροῦσι πράγμασιν. ΙΖΑΝΕΙ. ἵμπιπλει. ΑΛΑΛΥΚΤΗΜΑΙ. τυποῦσθαι, ὑπόρημαι. ΕΚΘΡΩΣΚΕΙ. βάλλεται, ἐπιδᾷ. ΔΡΑΙΝΕΙΣ. ἐπινοεῖς, πράσσει λώσασι. ΚΑΤΑΒΕΙΟΜΕΝ. κατέλθωμεν. ΚΑΜΑΤΩι ΑΔΗΚΟΤΕΣ. ὑπὸ τοῦ λοιπου ἀπόνως διακεκμηκότες. Η ΔΕ ΚΑΙ ΥΠΝΩ. κελὶ τῇ ἀγρυπνίᾳ. ΕΠΙΠΑΓΧΥ ΛΑΘΩΝΤΑΙ. παντελῶς λιθαργήσουσι. ΔΥΣΜΕΝΕΕΣ. πολίμιοι. ΣΧΕΔΟΝ ΕΙΑΤΑΙ, πλησίον κάθηνται, ἐγγύς εἰσι. ΜΕ-

Α ΝΟΙΝΗΣΩΣΙ. προθυμηθῶσιν. ΟΥΔ ΕΤΙ ΙΑ-
ΜΕΝ ΜΗ ΠΩΣ ΚΑΙ ΔΙΑΝΥΚΤΑ ΜΕ-
ΝΟΙΝΗΣΩΣΙ ΜΑΧΕΣΘΑΙ. τοῦτο προσκαί-
ρως ἔρρηκεν ὁ ἀγαμέμνων οὕνεκα τὸν ἐκπλῆξαι τὸν νίσορα, ἐπεί τοι οὐκ ἦν ἔθ' αὐτοῖς νυκτὸς πολεμεῖν. ΟΥ
ΘΗΝ. ἀδαμῶς μοχθήσειν. ΕΕΛΠΕΤΑΙ. ἐλπίζει. ΜΟ
Β ΧΘΗΣΕΙΝ. ταλαιπωρήσειν, κακοπαθήσειν. ΠΟΤΙ
ΔΑΥ ΚΑΙ ΕΓΕΙΡΟΜΕΝ ΑΛΛΟΥΣ. πρὸς δὲ ἡμᾶς
τοὺς ἄλλους ἐγείρωμεν. ΔΟΥΡΙΚΛΥΤΟΝ. εὔδοξον περὶ
τῷ δόρατι. ΑΙΑΝΤΑ ΤΑΧΥΝ. τὸν οἰλίως, οὐ γὰρ οὗ
ἄλλοις φησί, πλείστης δ' ἀνδρας ἔλεν οἰλῆος ταχὺς αἴας.
ΦΥΛΕΟΣ ΥΙΟΝ. τὸν μίγκτα, τὸ ῡ ὃς μικρὸν διὰ τὸ μό-
Γ χθον. ΜΕΤΟΙΧΟΜΕΝΟΣ. ἐπ' αὐτὸς ἐπιλεύσ. ΑΝΤΙ
ΘΕΟΝ ΤΑΙΑΝΤΑ. τὸν τελαμῶνος. ΕΚΑΣΤΑΤΩ.
πορρωτάτω. ΝΕΙΚΕΣΣΩ. κακολογήσω. ΟΥΔΕ ΠΙ-
ΚΕΥΣΩ. ἢ οὐκ ἀποκρίνω. ΑΙΤΙΑΣΘΑΙ. μέμφε-
σθαι. ΩΣ ΕΥΔΕΙ. ὅτι καθεύδει. ΕΠΕΤΡΕΨΕΝ. ἐπί-
σχυσεν. ΠΟΝΕΕΣΘΑΙ. κάμνειν. ΟΦΕΛΕΝ. ὄφελον,
Δ ἔρριπτον. ΟΥΚ ΕΤΑΝΕΚΤΟΣ. αὐτομόνητος. ΑΛ
ΛΟΤΕ. οὐ ἄλλῳ καιρῷ. ΜΕΘΙΕΙ. ἀμελεῖ. ΟΚΝΩι. ῥα
θυμίᾳ, φόβῳ. ΟΚΝΩ ΕΙΚΩΝ. ὀκνῶν. ΟΥΤΑΦΡΑ
ΔΙΗΣΙ ΝΟΟΙΟ. ὅτι ἀσθενὲς λογισμὸν ὁ ἔχων ἔτι ἀσύ-
νατός ἐστιν. ΕΜΕΟ. ἐμοῦ. ΕΠΕΓΡΕΤΟ. ἐπηγέρθη, διὰ
πνισι. ΚΑΛΗΜΕΝΑΙ. παλέμ. ΜΕΤΑΛΛΑΙΣ. ἐπι-
Ε ζητεῖς. ΙΝΑ ΓΑΡ ΣΦΙΝ. ἵνα γὰρ αὐτοῖς. ΕΠΕΦΡΑ
ΔΟΝ. ἔπορ. ΠΕΡΟΝΗΣΑΤΟ. πόρπη σωίβαλον, οὗ
πορπώσατο. ΦΟΙΝΙΚΟΕΣΣΑΝ. πυρρὰν τῷ χρώματι.
ΔΙΠΛΗΝ ΕΚΤΑΔΙΗΝ. πλὴν μιγάλλω, ὥς τι καὶ διπλῆ
αὐτῇ χρώμενον, ἔχειν ἐκτεταμμένῳ. ΟΥΛΗ. ῥιφρά, ἢ ἄπε-
λή. ΕΠΕΝΗΝΟΘΕΝ. ἐπήνθει, ἐπίνετο. ΛΑΧΝΗ-
ἡ λασιό-

ἢ δασύτης, ἢ πρανές. ΑΔΚΙΜΟΝ. ἰσχυρὸν, ἵστονον, ἢ Α
πρὸς τὸ ἁλίξασθαι πεποιημένον. ΠΡΩΤΟΝ ΕΠΕΙ
ΤΟ ΔΥΣΣΗΑ. πρῶτον μετατάττα τὴν εὐφυΐαν.
ΠΕΡΙ ΦΡΕΝΑΣ ΗΛΥΘΙΩΝ. διονεὶ ἔχθετο ἢ φω-
νῆς, ἵκασον. ΕΚΔΗΛΟΕ ΚΛΙΣΙΗΣ. ἔξωθεν ἔλθι ἢ
σκηνῆς. ΑΛΑΣΘΕ. πλανᾶσθε. ΟΤΙ ΔΗ ΧΡΕΙΩ
ΤΟΣΟΝ ΙΚΕΙ. ὅτι τοσαύτη χρεία κατέλαβεν. ΙΚΕΙ Β
καταλαμβάνει. ΒΕΒΙΗΚΕ. βεβίασαι, συγκροτεῖ. ΜΕ-
ΤΑΥΤΟΥΣ. σὺν αὐτοῖς. ΕΚΙΧΑΝΟΝ. κατελάμβα-
νον. ΥΠΟ ΚΡΑΣΙΝ. ὑπὸ ταῖς κιφαλαῖς. ΟΡΘΕΠΙ
ΣΑΥΡΩΤΗΡΟΣ. ὀρθὰ ἀδὲ τὸ κρίσφα, ὅτω γὰρ καλεῖ-
ται τὸ αὐτικέμενον ἢ ἱπποδοραπίδος σιδήρεον. ΕΛΗΛ
ΤΟ. ἱππήγει, ἵστατο ἐις τὴν γῆν. ΥΠΟΔΕΣΤΡΩΤΟ, Γ
ὑποίστρωτον δέ. ΡΙΝΟΝ. βύρσαν. ΑΓΡΑΥΛΟΙΟ. τὸν 107
φύσαρχῶν αὐλιζομένων. ΥΠΟ ΚΡΑΤΙΣΦΙΝ. ὑπὸ τῇ κε
φαλῇ. ΤΕΤΑΝΥΣΤΟ. ὑπέκειτο. ΛΑΞ ΠΟΔΙΚΙ
ΝΗΣΑΣ. σὺν ὅνως τῷ μιγάλῳ δακτύλῳ τὸν ποδὸς τὸν ποὶ
λημίρες ἀφάμενος τὸν διομήδες ποδός. ὡς δ' ἅπλον ἐκ τῶν ὑ
πιφερομένων. ὄρουσί τι νέκισσι αὖτιν. ΥΠΝΟΝ ΑΩ- Δ
ΤΟΙΣ. ἀπανθίζῃ ἢ ὕπνον, ἐκ δὲ τότε καθύδεις. ΟΥΚ Α
ΕΠΙΣ. ἐκ ἀσάφειαν, ἐκ ἀκύρως. ΕΠΙ ΘΡΟΣΜΩι ΠΕΔΙΟΙΟ. τό
πος ὑψηλὸς ὐ τῷ πεδίῳ πρὸ ἢ ἰλίου, ὃ ὀνομαστικῶς κα
λεῖτ' θρωσμός, ὡς ἡ ἕτερος καλλικολώνη, ᾧ στρατοπέδῳ ἐ
χρῶντο οἱ Τρῶδε, ἔπεστι ἢ πόλεως ἔξω τάσσοντο. ΟΛΙ-
ΓΟΣ ΧΩΡΟΣ. μικρὸν διάσημα ΕΡΥΚΕΙ. διέργει, Ε
καλύει. ΣΧΕΤΛΙΟΣ. δεινός, ἢ σχετλιασμὸ ἄξιος, ἀγνώ
μων, παρτιρικώτατος. ΑΜΗΧΑΝΟΣ. ἀπρόσμηχάνη
τος, πρὸς ὃν μηχανὴν ἐκ ἔχειν δύρεῖν, ἢ ἀκοπίαστος ἢ πρὸς
πάντας ἐχ ἕτοιμος. ΚΑΤΑ ΜΟΙΡΑΝ. κατὰ τὸ πρέ
πον, κατὰ τὸ πρέπον. ΕΠΙ ΞΥΡΟΥ ΙΣΤΑΤΑΙ

Α ΑΚΜΗΣ. αὐτὶ τοῦ τὰ πράγματα ἡμῶν ἰσχὸς ἥρτηται, ὅ ἐστιν οὐ ἰσχάτως κινδυνώδως ἔχει· καὶ ὠδὶ ὀξύτατος κινδυνώδης μεταφορά. ΒΙΩΝΑΙ. σωθῆναι, ζῆσαι. ΕΓΡΗΓΟΡΤΙ. ἐγρηγόρως. ΔΥΣΩΡΗΣΟΝΤΑΙ. δυσφυλακτήσουσι, καὶ κλῶ φυλακὴν καὶ νύκτα διαγάγωσι. ΘΗΡΟΣ. λέοντος. ΑΚΟΥΣΑΝΤΕΣ. ἀκουσθέντες, λέπει φωνῆς. ΚΡΑΤΕ
Β ΡΟΦΡΟΝΟΣ. ἰσχυρᾶς, τολμηρᾶς. ΝΥΚΤΑ. αὐτὶ τοῦ διὰ νυκτός. ΦΥΛΑΣΣΟΜΕΝΟΙΣΙΝ. αὐτὶ τοῦ φυλασσόντων. ΤΕΤΡΑΠΤΟ. τετραμμένοι ἦσαν ἢ ἀπέβλεπον εἰς τὸ πεδίον. ΕΠΙ ΤΡΩΩΝ ΑΙΟΙΕΝ ΙΟΝΤΩΝ. ὅπως ἂν ἐπιόντων τῶν Τρώων ἀκέσειαν. ΟΣΟΙ ΚΕΚΛΗΤΟ ΒΟΥΛΗΙ. ὅσοι ἐκκλημένοι ἦσαν εἰς τὸ συμβούλιον.
Γ ΗΙΣΑΝ. ἐπορεύοντο, ἤρχοντο. ΣΥΜΜΗΤΙΑΣΘΑΙ. κοινῇ γνώμῃ σκέψασθαι. ΤΑΦΡΟΝ ΔΕΚΔΙΑΒΑΝΤΕΣ. διὰ τῶν προθέσεων ἁπλοῦ τὸ λυσδιάβατον ἢ ὀρύγματος, διατὶ δύφησιν οἱ ἐγκόνδυλοι, τὴν τάφρον διαβάντες βαλιόντῃ, φαμὴν ὅτι τοτε ποιῆσιν εἰς παραμυθίαν τῶν κατασκόπων, ἵνα προθυμότεροι γόωντῃ ἐγγὺς αὐτῶν ὄντων. ΕΔΡΙΟΩΝΤΟ. ἐκαθέζοντο. ΠΙΦΑΥΣΚΟΝ. οὐφάνιζον, ἔλιγον. ΠΕΠΙΘΟΙΤΟ. πεποίθει. ΕΩΙ ΑΥΤΟΥ. τῷ ἰδίῳ θυμῷ, ὅμηρος ἢ ἀδέποτε σώφρονα αὐτοῦ νοῦν παραλαμβάνει. ΤΟΛΜΗΕΝΤΙ. καρτερικῷ. ΕΣΧΑΤΟΩΝΤΑ. ἔσχατον, ὑπολειπόμενον, πεπλανημένον, ἢ τὰ ἔσχατα μέρη διαρρίπτοντα. ΦΗΜΗΝ. κληδόνα. ΠΥ
Ε ΘΟΙΤΟ. ἀκούσοι, μάθοι. ΕΙ ΤΙΝΑ ΠΟΥ ΚΑΙ ΦΗΜΗΝ ΕΝΙ ΤΡΩΕΣΣΙ ΠΥΘΟΙΤΟ. ζώθασιν οἱ πολεμίμενοι φήμας τινὰς λέγειν οἰ ἑαυτοῖς, οἷον λακεδαιμονίων βαλισομένων, ποῖον χωρίον ἐπιτειχίσωσι ἢ ἀτλικῆς, ἀλκιβιάδης σὺν βόλυσι πέμπειν εἰς Ἀθήνας κατασκόπους, οἱ τινὲς παραγενόμενοι, ἤκουσαν αὐτῶν τῶν Ἀθηναίων διαλεγομένων ὅτι τὴν δικὴν

τὴν δειπίλαν, μᾶλλον δὲ τὴν ἐπιτιχίζαν· οἱ πολέμιοι δὲ ἤτοι λα- Α
κεδαιμόνιοι ἐπετείχισαν τὴν δειπίλαν. ΑΣΣΑ. ἄτινα δή.
ΜΕΜΑΑΣΣΙ. πρωτεύμενοι. ΑΥΘΙ. αὐτόθι. ΑΠΟΠΡΟ
ΘΕΝ. πρόμβον. ΑΣΚΗΘΗΣ. ἀβλαβής, ὑγιής. ΕΠΟΥ
ΡΑΝΙΟΝ. ἕως οὐρανὸν ἐξικνούμενον. ΠΑΝΤΑΣ ΕΠΑΝ
ΘΡΩΠΟΥΣ. διὰ πάντων τῶν ἀνθρώπων. ΔΟΣΙΣ. λαμπά-
ΕΠΙΚΡΑΤΕΟΥΣΙΝ. ἄρχουσιν. ΥΠΟΡΡΙΝΟΝ. ὕπαρ Β 108
νον, ἔγγυον, ῥηνὸς γὰρ οἱ ἄρνες. ΤΗΙ ΜΕΝ ΚΤΕΡΑΣ
ΟΥΔΕΝ ΟΜΟΙΟΝ. ἧς ἀδὸν κλῆμα ὅμοιον διὰ τὴν πρᾶ
ξιν, διατὶ μίλαινα ἡ ὑπόῤῥηνα τὰ πρόβατα ἐπαγγέλλει,
ἡ ῥητέον ὅτι μίλαινα μὲν, ἐπεὶ συνήθως ἐπορεύοντο, ὑπόῤῥη-
να δὲ, συμβολή τινι αἰσίᾳ, ἵνα ἔγκαρπον τὴν πορείαν ποιή
σωσιν. ΔΑΙΤΗΣΙΝ. δυσχέρειαν. ΕΙΛΑΠΙΝΗΣΙΝ. ὧρ Γ
ταῖς, ὅτι κατὰ εἱλας πίνουσιν, ἔρρητο δὲ παρὰ τὸ εἱλαρὸν
ἄβιωθαι τὰς δυσχερῶντας ὃ ἔστι παράσιτοθαι. ΑΓΗΝΩΡ.
ἄγαν ἀνδρεῖος. ΘΑΛΠΩΡΗ. ἡδονή, θάλψις. ΘΑΡΣΑ
ΛΕΩΤΕΡΟΝ. θαρσαλεώτερον, τολμηρότερον. ΞΥΝΤΕ
ΔΥΕΡΧΟΜΕΝΩ ΚΑΙ ΤΕ ΠΡΟ Ο ΤΟΥ ΕΝΟΗΣΕ.
συμβαλλόμενος γὰρ δύο ὁμοῦ, ἢ κοινῶς ὁ ἕτερος πρὸ τοῦ ἑτέρου ἐπι Δ
νοήσει τι καινοφιλὲς καὶ συμφέρον. ΚΕΡΔΟΣ. ὠφέλειαν.
ΒΡΑΣΣΩΝ. βραδύτερος, ἐλάσσων, ἢ παρασύμενος, καὶ
ἀκαταστάτως, μεταφορικῶς. ΔΟΥΡΙΚΛΥΤΟΣ. οὐδόξος
πάνυ ἐν τῷ δόρατι. ΑΙΡΗΣΕΑΙ ΟΝ ΚΕΘΕΛΗΣΘΑ. ἐταῖρον
ἢ συμβοηθὸν ἐπιλέξαι ὃν ἂν ἐθέλῃς. ΟΠΑΣΣΕΑΙ. πρὸς τὸ
συμβοηθεῖν ἀκόλουθον προσλαβεῖν. ΑΙΔΟΙ ΕΙΚΩΝ. νικῶ Ε
μένος ὑπὸ δὲ αἰδοῦς. ΓΕΝΕΗΝ ΟΡΟΩΝ. ἀντὶ τοῦ εἰς
τὴν συγγένειαν ἀφορῶν. ΒΑΣΙΛΕΥΤΕΡΟΣ. βασιλι-
κώτερος. ΕΔΔΕΙΣΕΝ. ἐφοβήθη. ΑΥΤΟΝ
ΕΛΕΣΘΑΙ. ἑαυτὸν ἐθέλειν ἐπιλέξασθαι ἐμέ. ΠΩΣ ΑΝ.
πῶς δή, ΠΡΟΦΡΩΝ. πρόθυμος, ἢ προορατικός.

ΤΟΥΤΟΥ

Α ΤΟΥΤΟΥ ΓΕΣΠΟΜΕΝΟΙΟ ΚΑΙ ΕΚ ΠΥΡΟΣ ΑΙΘΟΜΕΝΟΙΟ. αὐτὶ τοῦ αἴθοντος, ὃ ἔστι καίοντος ἐν τῇ φαρμῷ. ΜΗ ΤΑΡ. μάτι δέ. ΑΙΝΕΕ. ἐπαίνει. ΝΗ ΚΕΙ. λακολόγει, ψέγει. ΜΗ ΤΑΡΜΕ ΜΑΛΑΙΝΕΑΙ ΜΗ ΤΕΤΙ ΝΕΙΚΕΙ. δῆλός ἐστιν ὁ ποιητὴς ἀρχὴν τὸ ἀποφθέγματος τῷ σοφῷ πιτ[τακῷ διδωκὼς ἀπόντι, τὸ μηδὲν ἄγαν, ἄλλο γὰρ ἀδοῦ δηλοῖ τὸ τοῦ ποιητοῦ, ἢ τοῦτο, ἵνα τότε δὲ πῶς ἀδυνατὸν νῦν ἐπαινούμενος ἄχθηται, παρὰ δὲ τοῖς φάλαξι, φίλαιχός ἐστι, ῥᾴτιον δὲ ὅτι οὐτῶθα μὴν παραπεῖται τὸν ἔπαινον, ἐπεὶ προέληφεν ἡ γνῶσις, παρὰ δὲ τοῖς φάλαξιν ἀδαμῶς ἀρνεῖται, ἵνα γνωσθεὶς μᾶλλον δι ἐπανόδου τύχῃ. ΑΝΕΤΑΙ. αὐύνται, τιλεῖται. ΑΣΤΡΑ Γ ΔΕ ΔΗ ΠΡΟΒΕΒΗΚΕ ΠΑΡΩΙΧΗΚΕ ΔΕ ΠΛΕΩΝ ΝΥΞ ΤΩΝ ΔΥΟ ΜΟΙΡΑΩΝ. κατὰ τὸ ἴτυμον ὅλον ἄστατα, ὅθεν καὶ ἀστὴρ κέκληται, παρὰ τὸ μὴ στῆναι, ὁ δὲ λόγος, παρελήλυθε δὲ ἡ τῶν δύο μοιρῶν πλέων νύξ, ἣ οὐ παρῆκται τῷ ἄστρα δὲ δὴ προβέβηκε τῶν δύο μοιρῶν, παρῴχηκε δὲ πλέων νύξ. ῥητάτη δέ τι μοῖρα λέληπται, Δ δηλονότι τὸ ῥητὸν μέρος ὅλον, ὡς γὰρ πρὸς τὸ ὑπολειπόμενον δι ῥητῆς μοίρας, φησὶ τὸ πλέων, οἵτινες δὲ γράφουσι πλέι, αὐτὶ τοῦ πλήρης τῶν δύο μοιρῶν παρῴχηκε, ῥιφύλατον γὰρ βέλει εἶναι πλὴν νύκ[τα, ζητεῖται δέ τι τὸ προβέβηκε δηλοῖ, καὶ ποῖα τὰ ἄστρα, ἐφ᾽ ὧν σχάζεται πλὴν ὥραν ὀ Ε δυατὸν, τὸ γὰρ δι ἄρκ[τ]ου τὰς ἀστέρας ἀκέεσθαι, ἁμάρτημα, ἐκ ἓκ τῶν ἀεὶ φαινομένων, ἀλλ᾽ ἐκ τῶν ἀνατελλόντων καὶ δυνομένων δι ὥρας τινὰ μεμελέτηκε, καὶ τετμέλεκε, οἵτινες μὲν ὧν πλεῖάδας φασὶ καὶ ὑάδας ἢ τὠρίωνα, καὶ τὸ προβέβηκέναι πλὴν ἀνατολὴν ἰέναι ποιεῖσθαι, ἕτεροι δὲ τ ὅσπερον καὶ τ κύνα ἢ τὸ προβέβηκέναι ἰέναι ποιεῖσθαι πλὴν λύσιν, ἅμα γὰρ δὲ λέγω, ὅτι ἐκ τοῦ κύκλου τ ζωδιακοῦ πλὴν ὥραν κατέμα

ἢ τέτα

ἦν, τότε γὰρ ἐς δώδεκα διηρημένα, ἑξῆς ἀνέβαινε κατὰ δύ- Α
ντος ἡλίου βλέποντι, νυκτὸς δὲ προβαινούσης τὰ λοιπὰ ὁ τὰ
αὐτὰ μὲν ὁρώμενα, τὸν δὲ ἀριθμὸν οὐκ ἐξ φυλάττοντα. ἐν τῷ
ζωδίῳ ἦν τῶν ἐπιφερομένων τῷ δωδεκατημορίῳ τότῳ οὗ
ἦν ὁ ἥλιος ἦν, τὴν ὥραν σοχάζεται ὁ ὀδυνούς. ἢ ἁπλῶς φησι
πάντα τὰ ἄστρα συγκαταδυόμενα τῷ ἡλίῳ καὶ συναντέλ
λοντα κατὰ τὸ δύτερον. τὸ δὲ προβέβηκεν δηλοῖ, προκοπὴν Β
ρηκεν ἐς δύσιν, ὥσπερ καὶ ἡμεῖς λέγοντες τὸ σολὺ προῆλ-
θε δηλ ἡμέρας, τὸ εἰς δύσιν προελθεῖν λέγομεν, ἐ δέτις ἐπέ-
τεῖ πῶς ἂν ὀνόμασι τὰ ἄστρα, ἴσως ὅτι τῷ ἐπέχομένῳ ἀδό-
γον ὀχ ἅρμοζον ἀδολισχεῖν. φαίνεται δ' ἐκ τότων ὅμηρ& καὶ
σφαιροειδῆ τὸν κόσμον εἰδώς, ἐ γὰρ διόντι τὰ μὲν δύειν τὰ δ'
ἀνατέλλειν, μὴ ὄχι ὑπὸ γῆν τὸν ἡλίον φερομένον καὶ ὑπὸ γῆν Γ
αὐίσχοντος, εἰδὼς δὲ καὶ ἡμιρῶν καὶ νυκτῶν μέγεθος καὶ ἡλίου
κίνησιν, οἶδεν ἀκριβῶς ὅτι κατὰ τὰς τότε δύσεις καὶ ἀνα
τολὰς καὶ ἡ νὺξ ὀρθίζεται καὶ ἡ ἡμέρα κατὰ τὴν ἡμέραν. Π Α
ΡΩΧΗΚΕ ΔΕ ΠΛΕΩ ΝΥΞ ΤΩΝ ΔΥΟ ΜΟΙ-
ΡΑΩΝ ΤΡΙΤΑΤΗ ΔΕ ΤΟΙ ΜΟΙΡΑ
ΛΕΛΕΙΠΤΑΙ. ὥσπερ τὴν ἡμέραν εἰς ῥία μέρη διεῖ- Δ
λον, οὐ οἷς φησιν ἵστασται ἡ κώς, ἡ δέλη, ἡ μίσον ἦμαρ, ὅταν
καὶ τὴν νύκτα εἰς ῥία διεῖλον, ἐδὲ ῥιμερὲς ἴσται ἡ νὺξ καὶ τῶν
δύο μοιρῶν παρῆλθε, πῶς δυνατὰ ὅλη ἡ ῥίτη λέ
πεσθαι, ἀλλὰ λέγομεν ὅτι τετελεσμένων τῶν δύο, λειπομέ
νης δὲ δ ῥίτης, εἰκότως φησὶν ὡς παρῆλθε τὸ πλεῖον ἡ νὺξ
οὖσα μοιρῶν δύο, πλεῖον γὰρ μέρος ἐσὶ δ ὅλης νυκτὸς αἱ Ε
δύο, ἤγε τὰ δύο τῶν οὐδὲ πλείονα. ἢ κἀκεῖνο ῥητέον, ὡς τὸ
μέρος ὁμοίως ἐβάνυγκε τῷ ὅλῳ τὴν ῥίτην λέπεσθαι ἐπὶ τῶν
δ λειπομένων ὅλην, ὁμοίως τῷ ὡς τότε μὲν πρόσαν ἦμαρ ὅλ-
λιον καὶ δώτα. καὶ τῶν δ' ἦμαρ μάνανται ὑδὲ σκαίῃσι
πύλῃσιν, ὅτι γὰρ ἅμα ἓω ἀρξάμενοι ἔπιγον, καὶ βραχὺς ἦν
ὁ αὐα-

Α ὁ ἀναλωθεὶς χρόνος εἰς ἓλὼ μάχλω ἓλὼ περὶ ταῖς πύλαις, καὶ
ἐκεῖνο ὅμοιον περιπλομένῳ δ' ὀνιαυτοῦ τίξεις ἀγλαὰ τέκνα,
ἐς γῦ ἀποκύησιν ὁ πλήρης ὅλος ἔτος, ἀλλὰ διακόσιαι καὶ
ἑβδομήκοντα καὶ ῥεῖς ἡμέραι, καὶ ἡμεῖς οὐ τῷ συνόδῳ περὶ τ
τοῦ δολιχοῦ ῥέχοντος ἀρξαμένῳ τὸ τιλουταῖον γάδιον βέ
χειν, γάδιον αὐτῷ περιλέπεσθαι φαμὲν καὶ περὶ τοῦτον ὅσ
Β χατον μῆνα ἄρχοντος ὅτι δὲ ἀρχῆς αὐτῷ περιλέπειν μέν
ἢ ὅτι αὐτῶν τ δύο τὸ πλεῖον μέρος ἀναλῶσαι λέγει, ὡς τι
νὲς δὲ αὐτέρας ἔνίοτι καὶ τῶν ῥητῶν ὅλως διαλέπεσθαι,
τὸ ἧττον, φασὶ μὲν ὡς πλησιαίτερον ἀδύνατον παρεῖ
λῆφθαι, τὰ πλείονα ἐκ τ δύο μοιρῶν παρελλάχθαι. ἢ πλέ
ονα παρὰ τὰς μοίρας ταῖς δύο ὡς πρὸς βραχυδίαιρες λέγει, ἀλ
Γ λὰ καὶ ταύτῃ τῶν γραμμῶν θαλάσσης ἄδη πλέον χρώμενοι
συνῆλθον, φασὶ δ' οὐ βάλιστον ὀνίκον εἶναι, τῶσιν αἴτια
τινὲς προβάλλουσι, ἢ νῦν παρῆλθον ἐς πλέονα μοίραν τῶν
μοιρῶν τ δύο. ΔΕΙΝΟΙΣΙ, δίος ἐμποιῶσι, φοβεροῖς. ΑΜ
ΦΗΚΕΣ. ἀμφοτέρωθεν ἥκουσι μύον. ΤΟ ΔΕΟΝ. τὸ δὲ
Δ ἴδιον αὐτο. ΤΑΥΡΕΙΗΝ. ὁρμητήριον. ΑΦΑΛΟΝ
ΤΕ ΚΑΙ ΑΛΟΦΟΝ. ὅτι λόφον ὅτι προμετωπίδιον ἴ
χασαν. ΚΑΤΑΙΤΥΞ. ἓν δος περιφαλάσας, ἀπὸ τοῦ πέ
σω τετύχθαι καὶ μὴ ἔχειν λόφον, ἀλλὰ ποίλον εἶναι. ΚΕΚΛΗ
ΤΑΙ. καλεῖτ, λέγεται. ΡΥΕΤΑΙ ΔΕ ΚΑΡΗ. σώζει ἢ
τὰς περαλὰς τῶν ῥίνων. ΡΙΝΟΥ ΠΟΙΗΤΗΝ. ἐκ δ' ἡμᾶς
Ε τοῦς γιγονῦαν ἰσχοινορράφημένῳ. ΑΡΓΙΟΔΟΝΤΟΣ.
λόγχας ὀδόντας ἔχοντος. ΘΑΜΕΕΣ. θυνοί, ἐπάλλη
λοι. ΠΙΛΟΣ. τὸ περιπλεκόμενον ἔριον. ΑΡΗΡΕΙ. ὀλέ
σαιτο. ΕΛΕΩΝΟΣ. ἑλεὼν πόλις βοιωτίας. ΟΡΜΕΝΙ
ΔΑΟ. ὁρμένῳ παιδός. ΕΞΕΛΕΤΟ. ὡς ἐξαίρετον ἔλαβον,
ὑφείλετο. ΠΥΚΙΝΟΝ. πυκνόν, ἰσχυρόν. ΑΝΤΙΤΟ
ΡΗΣΑΣ. ἀντὶ τοῦ διαῤῥήσας, τοιχορυχήσας, διορύξας.

ΣΚΑΝ

ΞΚΑΝΔΗΙΑΝ ΔΑΡΑ ΔΩΚΕΝ. ἀντὶ τοῦ σκαν Α
δέας ἢ αὐτὴν ἴδωκε τῷ ἀμφιδάμαντι, ἢ ἦ σκανδέια πόλις
πυθμένων, πύθμενα ἦ, νῆσος τ' λακεδαίμονος. ΚΥΘΗΡΙΩΙ. τῷ
ἀπὸ κυθήρων. ΠΥΚΑΣΕ ΚΑΡΗ. ἰσκίπασι τὴν κιφα-
λὴν ἁρμόσασα. ΚΑΤΑΥΤΟΘΙ. κατ' αὐτο. ΕΡΩΔΙ
ΟΝ. ἐρωδιὸς ἔδος ὄρνις, διατί φησιν ὑπ ἔπι τὴν γλαῦκα
οὖσαν ἱεραὶ ἢ ἀθηνᾶς, λυτέον οὖν τὸ ἄπορον παρῷ ἡ τό Β
πω, διαβίβει γὰρ τὸ ὄρνιον περὶ τὸν ἰλλυθείας τόπον, ἡδὺ
θηρευτικὸν τὸ ζῶον. ΟΡΦΝΑΙΗΝ. σκοτεινὴν. ΚΛΑΓ 109
ΞΑΝΤΟΣ. φωνήσαντος φθεγξαμένου. ΤΩΙ ΟΡΝΙΘΙ. ἐπὶ τῷ
ὄρνιθι ὡδὴ τῷ οἰωνῷ. ΚΙΝΥΜΕΝΟΣ. κινούμενος, ἐπὶ πρᾶ
ξιν ὁρμῶν. ΔΟΣ. πάρασχε, ποίησον. ΕΥΚΛΕΙΑΣ. εὐ-
κλεῆς, εὐδόξους. ΜΕΓΑ ΕΡΓΟΝ. μεγάλην πρᾶξιν, Γ
ἀρίσταρχος δέ φησι τὸ φονεῦσαι ἴκελορα. ΣΠΕΙΟ. ἵπ-
ποις συνακόλουθον. ΠΡΟ ΑΧΑΙΩΝ. πρὸ τῶν λοιπῶν ἰλ-
λήνων, ἢ ναυτῶν. ΑΣΩΠΩΙ. ἀσωπὸς πολλαχοῦ βοιωτίας
πλησίον ῥεόντων. ΑΥΤΑΡ Ο ΜΕΙΛΙΧΙΟΝ. ὁ δὲ
τυδέως φησι προσηνῆ καὶ πρᾶον λόγον ἤπερ τοῖς θηβαίοις, Δ
ἄπεισι γὰρ προκηρυκευσόμενος περὶ διαλύσεων ἢ ἐρίνυος.
ΑΥΑΝΙΩΝ. ἀνθρώπων, ἐπιτρέπων. ΜΗΣΑ-
ΤΟ. ἐβουλεύσατο, διεπράξατο. ΠΡΟΦΡΑΣΣΑ. πρό
φρων, πρόθυμος, ἢ ἃ χρὴ πρᾶξαι προφράζεσθαι τὸ μέλλον.
ΡΕΞΩ. ἱερεύσω, θύσω. ΗΝΙΝ. οἰκονομίαν, νέαν,
οἶος γὰρ ὁ οἰκονόμος. ΑΔΜΗΤΗΝ. ἀδάμαστον, νέαν, Ε
ἄζυγα τὸν. ΠΕΡΙΧΕΥΑΣ. περιχέας, περιβάς. ΑΝ
ΦΟΝΟΝ ΑΝ ΝΕΚΥΑΣ. διὰ τὸν φόνον καὶ τῶν νε-
κρῶν. ΔΙΑ ΤΕΝΤΕΑ ΚΑΙ ΜΕΛΑΝΑΙΜΑ.
διὰ τῶν ὀπτέων κρεῶν τῶν ὅπλων καὶ μέλανος αἵματος.
ΟΥ ΔΕ ΜΕΝ. οὐ μὴν δέ. ΑΜΥΔΙΣ. ὁμοῦ, εἰς τὸ
αὐτό. ΑΡΚΙΟΣ. αὐτάρκης, ἱκανός. ΕΡΙΑΥΧΕ-
ΝΑΣ,

Α ΝΑΣ. μεγαλοφαχήλους, φολίδας, ἀπὸ μέρους, τὸ ῑρι γὰρ μέρισμον ὠδή τω μεγάλα τίθεται, ὡς ηκει τὸ ῑζα, κὴ οὐτ ἀῦθα ἦ τὸ ἀσώδιστον τω ἱκέτορος φάινετ ὑπισχνεμένης τὸς τω ἀχιλλέως ἵππους, οὓς σὺν ἦν ἐπ αὐτῷ λαβεῖν. ΦΥΞΙΝ ΒΟΥΛΕΥΟΥΣΙ. περὶ φυγῆς σκέπτονται. ΦΥΛΑΣΣΕΜΕΝΑΙ. φυλάσειν. ΑΔΑΗΚΟΤΕΣ. τιταλαιπωρημένοις, Β ἢ ἀπδῶς διακέμενοι, φυλάσσοντδ. ΗΝ ΔΕΤΙΣ ΕΝ ΤΡΩΕΣΣΙ ΔΟΛΩΝ. διατὶ κήρυκα πλέσιον ἔρηκε τὸν δόλωνα, κήρυκα μὲν οὖν, ἐς τὸ ὐχρῶς ὑπακέειν, πλέσιον δὲ, ἐς τὸ δωσωθῆναι ἑαυτὸν λυσάμενον, ποδώκεω δὲ, ἐπ' ἐλπίδι τὸ φυγεῖν τὸς διώκοντας. ΕΙΔΟΣ ΜΕΝ ΕΗΝ ΚΑΚΟΣ. ἀπδὲς ἦν τῷ προσώπω. ΑΛΛΑ ΠΟΔΩΚΗΣ. ἀλλ' ὀξύς. ΜΟΥΝΟΣ ΕΗΝ Γ ΜΕΤΑ ΠΕΝΤΕ ΚΑΣΙΓΝΗΤΗΣΙΝ. αὐτὶ τω μόνος ἦμαξ ῥῶι. Η ΜΕΝ. ἦμὶν, ὄντως δή. ΣΚΟΠΟΣ. κατάσκοπος. ΟΥΔ ΑΠΟΔΟΞΗΣ. ὐκ ἀπὸ δοκίσεως, κὴ ἐπασμῦ. ΤΟΦΡΑ ΓΑΡ. ἕως τότε γάρ. ΔΙΑΜ ΠΕΡΕΣ. μίχθήσεται. ΜΕΛΛΟΥΣΙΝ. ὁίασιν. ΙΣΤΩ. Δ γιγνωσκέτω, μάρτυς ἔστω. ΜΗ ΜΕΝ ΤΟΙΣ. αὐτὶ τοῦ ἐπ ἄμ τότοις. ΕΠΟΧΗΣΕΤΑΙ, ἐπιβῦ τῶν ὀχημάτων. ΑΓΑΛΑΙΕΣΘΑΙ. καλλωπισθῆναι. ΕΠΙΟΡΚΟΝ ΑΠΩΜΟΣΕΝ. ἐπιώρκησον. ΟΡΟΘΥΝΕ. προθύμει, παρώρμησι. ΠΟΛΙΟΙΟ ΛΥΚΟΙΟ. λυκῆς, τιφρώδες, διὰ τὸ ἀλχροιᾶς ἰδιότητα, ηκει γὰρ πιλίαν φασὶν ὄθονα Ε ὠνομάσθαι. τυρῶ γὰρ ἡ σκληρύνασα, γονύσασα δύο πᾶδας ἐκ πεσεῖσθαι, παρὰ τοῖς ὀνείροις τὸ πεταμᾶ ῥήθρους κατίλειπε, τὰ μὲν οὖν ὄθα κύων ἀφαιρεθόντων αὐτῆς τῶν τέκνων παρίχασα θηλῆν, ἕλκει, τὸν δ' ἕτερον, ἵππῳ κατὰ τὸ μίτωπον ἐπάτησε, ἐπιλθόντδ οὖν οἱ ἱπποφορβοὶ, αἰνλώμενοί τι τὰ παιδία ἔλεφον. ηκει ὠφάνασαν τὸν μὲν, ἐπὶ τὰ σώμ-

ἐκ σώμ-

ἢ συναρμῆς ἅρματος ἐπιλιώδη, πιλίαν, τὸν δὲ ἕτερον, Α
ἐπεὶ κύων κατέπλησεν, πλία. ΚΡΑΤΙ ΔΕΠΙ ΚΤΙ-
ΔΕΗΝ. ἀπὸ τοῦ π ἡ ἀρχή. ἐπεὶ οὐ ἑτέροις κεῖ ἐκτιδίην.
τοῦτο δὲ κατὰ ἀφαίρεσιν τοῦ τ λέγεται παρὰ τῷ ποιητῇ.
ἔκτις γάρ ἐστιν ὡς νίκανδρος. ἔκτιδος αὖτ ὄρνισι. τὸ γὰρ
μονοσύλλαβον ἃ λύονται κατὰ ἔκτασιν οὗτι κατὰ συσ-
τολὴν λέγεσθαι. ἢ χρὴ ἐκτέντεται ὡς κρητῖδος ψαφῖδος. Β
ταῦτα γὰρ ὑποίρ μίαν συλλαβὴν, οὔτι συστέλλεται, ἁρκεῖ
γὰρ τὸ τίς. ΚΤΙΔΕΗΝ. ἀπὸ ἐκτιδος λίρματος πίπτον
μυίην. ἔκτις δὲ ζῶον ὀρνιθοφάγον κεῖ πανοῦργον μεῖζον
γαλῆς κεῖ λασύτερον. ἄλλως δὲ παράπλησιον. οἱ δὲ
τὴν ἀγρίαν γαλῆν εἶπον. ΚΑΛΛΙΦ. κατέλιπεν. Γ
ΦΡΑΣΣΑΤΟ. ἔβλεψεν. οὐόησεν. κατάχρησις ὁ φόβος.
ΤΥΤΘΟΝ. μικρόν. κυρίως δὲ ἡ λέξις τίθεται ἐπὶ τῶν 110
βριφῶν οἱονεὶ τίτθιον. ΠΑΡΑΦΘΑΙΗΣΙ. παραλράμοι. φθάσοι τῇ ταχυτῆτι τῶν ποδῶν. ΠΡΟΤΙΕΙΛΕΙΝ.
συναλύνειν. συναλύκειν. ΑΛΥΞΗΙ. ἐκκλίνῃ. ἐκρύγῃ. ΠΑΡΕΞ ΟΔΟΥ. ἔξω τῆς ὁδοῦ. ΚΛΙΝΘΗ-
ΤΗΝ. κατωκλίθησαν. ἐκρύβησαν. ΑΦΡΑΔΙΗΣΙΝ Δ
ἀβουλίαις. ἀνοίαις. ΑΛΛΟΤΕ ΔΗ ΡΑΠΕΗΝ ΟΣ
ΣΟΝ ΤΕΠΙΟΥΡΑ ΠΕΛΟΝΤΑΙ ΗΜΙΟΝΩΝ.
ἐπότ' αὖ φησὶ τηλικοῦτον αὐτῶν διειστήκη. ὅσον γίγνεται
διάστημα ἡμιόνων, οὐ ἐπιστροφῇ ἀρῶν. δεῖ γὰρ ἀροῦντες
τοῖς μὲν ἰσχυροτέροις ζύγνυσι μιγάλας βοῦς, τὰς ἀμαξι-
κάς. φθάνουσι δὲ ὡς ὀξύτεροι αἱ ἡμίονοι τοὺς βόας οὐ ἀρότῳ Ε
ΕΠΙΟΥΡΑ. ὄρια. ὁρύγματα. ἀείραρχε οὕτως βεβηκό-
σατο. ὅσον φασὶν ὑφ' ἓν καὶ ὁμοῦ τὸ τὴν ἀφιδιστε
καὶ ἀπολυθόντες ζύγους ἡμιόνων. καὶ ζύγους ἄλλου βο-
ῶν, φθάσουσι καὶ προλάβουσι τοὺς βοῦς αἱ ἡμίονοι. ταχύ-
τερα γάρ ἐσι τῶν βοῶν, τοσοῦτόν φησι διάσαντος διάστη-

Α μα παριλθεῖν τὸν λόλωνα, μιτασραφόντβ· ἰλιαξαμὶ
ΠΡΟΦΕΡΕΣΤΕΡΑΙ. ταχύτεραι. πρέσαονβ· οὐ τῷ
ἀροβιᾶν. ΝΕΙΟΙΟ. διὰ νειοῦ. νεὸς δί ἔςιν ἡ νεωςὶ ἀρο
ριασμένη γῆ. ΠΗΚΤΟΝ ΑΡΟΤΡΟΝ. τὸ τὸν γό
μον προσπεπηγότα ἔχοντα. αὐτόγυον λί, τὸ ἐξ αὐτο μονό
ξυλον. καὶ ὑσιόδος φησι. διὰ λὶ βίαδαι ἄροβρα πουπσάμε
Β νος κατὰ οἶκον. αὐτόγυον καὶ πηκτόν. ΕΛΠΕΤΟ
ΓΑΡ ΚΑΤΑ ΘΥΜΟΝ ΑΠΟΣΤΡΕΥΟΝΤΑΣ
ΕΤΑΙΡΟΥΣ ΕΚ ΤΡΩΩΝ. ΙΕΝΑΙ ΠΑΛΙΝ
ΕΚΤΟΡΟΣ ΟΤΡΥΝΑΝΤΟΣ. σικτίον μετὰ τὸ
ἐκ Τρώων. ἔςι γὰρ ὁ λόγος. ἔλπεβι γὰρ ὁ λόλων ἐταίρες αὖ
τῷ ἐκ Τρώων ἀπαρχεῖν. ὡς κιλεύσαντος τοῦ ἕκτορος εἰς τὰ
Γ πίσω αὐτὸν ἀποστρέψαι. ἀποστρέψοντας γὰρ ὕπίσω πάλι
όντας. ΔΟΥΡΗΝΕΚΕΣ. λόγχαι βολίμ. λόγχαι μά
κος. ΔΗΙΟΥΣ. πολεμίους. ΛΑΙΥΗΡΑ. ταχέα.
ΕΝΩΜΑ. ἐκίνει πρὸς φυγήν. ΦΕΥΓΕΜΕΝΑΙ.
φεύγειν. ΚΑΡΧΑΡΟΔΟΝΤΕ. ἐπικαμπεῖς ὀδόν
τας ἔχοντβ. ἢ βραχεῖς. παρχαρὸν γὰρ τὸ βραχύ. ΕΙΔΟ
Δ ΤΕ ΘΗΡΗΣ. ἔμπειροι θηρατικῆς. ΚΕΜΑΔΑ. τὰ
γονυ ἴλαφον. ἢ λοφιάδας. ΕΠΕΙΓΕΤΟΝ. βορυβοῦσι
διώκοντες. ΑΠΟΤΜΗΞΑΝΤΕ. ἀποταμόντβ· χω
ρίσαντβ. ΛΑΟΥ ΑΠΟΤΜΗΞΑΝΤΕ ΔΙΩΚΕ
ΤΟΝ. τὸ ζωϊκοῦ ὅχλο χωρίσαντβ· αὐτὸν ἐδίωκον. ῥία
δὲ ἐήματά ἐσι παρὰ τῷ ποιητῇ τὸ τὸ παρωχημένῳ δη
Ε λοῦν ῥῆτορ εἰς ορ λῆγον ἔχοντα παραλόγως. τοῦτο καὶ τὸ
αὐδράσιν ἠρώησι τετύχατον καὶ τὸ ἴγνατα καὶ μίλαν
αἷμα λαφύσσετον. ἐπὶ ἔσι μελέτοι ἀτλικῆς λυπῆς σημασί
ας. αὐσαθιώρησιν γὰρ ἔχει πλυβυντικήν. τὸ γὰρ διώκετον.
αὐτὶ τοῦ ἐδίωκον κεῖται. καὶ τὸ αὐδράσιν ἠρώησι τετύχα
σθαι, αὐτὶ τοῦ ἴτου ἔχον. καὶ τὸ λαφύσσετον αὐτὶ τοῦ ἐλάφυσ

σθαι

τοῦ. ΕΜΜΕΝΕΣ. ἀδιαλείπτως. ἐπιμόνως. ΦΟΑΙΗι. Α
ῥάβδου. ΔΟΥΡΙ ΔΕΠΑΙΣΣΩΝ. σὺν τῷ δόρατι ἐ
ρομῶν. ὅ ἐστι ἐπισείων αὐτῷ τὸ δόρυ πρὸς κατάπληξιν.
ΑΛΥΞΕΙΝ. διαφύξεσθαι. ΑΙΠΥΝ ΟΛΕΘΡΟΝ.
μέγαν. ἀφ' οὗ λοιμός. ΒΑΜΒΑΙΝΩΝ. βρόμων. ὄνομα
ποιητικὸν ἀπὸ τῆς φωνῆς. ἢ ἀσαφῆ φωνὴν προϊέμενος ἀπὸ τοῦ φόβου
ΑΡΑΒΟΣ. ἦχος τῶν ὀδόντων. ΔΙΑ ΣΤΟΜΑ. κατὰ Β
τὸ στόμα. ὀνήλακεν δὲ ἡ πῶσις. ἵν' ᾖ διὰ στόματος. Υ
ΠΑΙ ΔΕΙΟΥΣ. ὑπὸ δείους. ὑπὸ φόβου. ΑΥΑΣΘΗΝ.
ἐλάβοντο. ΖΩΓΡΕΙΤΕ. ζωγρεῖτε. ζωὸν λάβητε φυλάττητε. ΕΜΕΛΥ
ΣΟΜΑΙ. αὐτὸ τοῦτο ἐμὲ αὐτὸν λυτρώσομαι. ΠΟΛΥΚΜΗ
ΤΟΣ. ὁ πολλὰ κάμνων. ἢ δι' οὗ πολλὰ κατασκευάζεται.
ΠΕΠΥΘΟΙΤΟ. ἀκούσοι, ΚΑΤΑΘΥΜΙΟΣ. κατὰ τὴν Γ
ψυχήν. κατὰ τὸν νοῦν. ΘΟΗΝ. τῶν ταχέων ἐπιλαμβάνε
σαν τῶν γῆν. ΕΠΕΜΑΙΕΤΟ. ἐπιζήτει. ἐπιθύμει. ΑΛΕΓΕΙ
ΝΟΙ. ἀλγεινὸν παρίχοντος. ἢ πρὸς τὸ κτήσασθαι ἀδύνατοι. ΙΙΙ
ΟΧΕΕΣΘΑΙ. ἐποχηθῆναι. ἐπιδῆναι. ΠΩΣ ΔΑΙΤΩΝ
ΑΛΛΩΝ ΤΡΩΩΝ. πῶς δ' αὐτῶν λοιπῶν φῶμεν. ΑΣ
ΣΑ ΤΕ. ἅτινα δή. ΑΥΘΙ. αὐτόθι. αὐτοῦ. ΒΟΥΛΑΣ ΒΟΥ Δ
ΛΕΥΕΙ. τὸ σχῆμα παρονομασία. ΣΗΜΑΤΙ, τάφῳ. ΙΛΛΟΥ.
ὃ ἦ ἴλλος ῥωὸς πᾶς. ἀφ' οὗ ἴλιος ἐκπέθη. ΦΛΟΙΣΒΟΥ. ἢ
χυ. θορύβου. ΦΥΛΑΚΑΣ ΔΑΣ ΕΙΡΕΑΙ ΗΡΩΣ. περὶ ἧ τ' φυ
λακῶν, ὧν ἐρωτᾶς μετ' ὀλίγον γενναιότατοι. ΚΕΚΡΗΜΕΝΗ. ἐπι
λελιμμένη. ΕΣΧΑΡΑΙ. πυραί. ἁπλοῖ δὲ ἡ λίθος
καὶ τῶν ὑγίαν. καὶ τὸ ῥυπαρὸν καὶ καυθὲν ὅλην. καὶ τὸν Ε
βωμὸν ὡς παρ' ὀλίγον ἐπὶ σὴ ὁ πρακτέ. καὶ τῶν κυρίως λεγο
μένων ἰσχάραν. τῶν μὴ ἔχουσαν ὕψη. ἀλλ' ὁπλῆς οὔσαν,
ἢ κοίλην. ὅθεν καὶ τὰ ὀστράκια κοῖλα ὄντα ἰσχάρας παρ'
ἀσροῖς. ΕΓΡΗΓΟΡΘΑΣΙΝ. ἐγρηγορεῦσιν. ΦΥ
ΛΑΣΣΕΜΕΝΑΙ. φυλάσσειν, ΕΠΙΤΡΑΠΕΟΥΣΙΝ.

Α ἐπιβρίπτειν. ἐγχαθέζεσθαι. ΕΙΑΤΑΙ. εἰσίν. ΝΑΠΑΙΝΕΥΘΕΝ. κάτωθεν. καὶ χωρὶς. ΔΙΗΠΕΜΟΙ. ἀκριβῶς διασάφησον. ἐπεί. ΔΑΕΙΩ. μάθω. ΠΡΟΣ ΜΕΝΑΛΟΣ. τῷ πρὸς τὴν θάλασσαν μέρει. προσλαπτέον ἢ τὸ ἴλαχον διατιλεῖν. ΠΑΙΟΝΕΣ. ἔθνος θρακικόν. τινὲς δέ φασι τοὺς νῦν καλουμένους παιονίους. ἔτι περὶ δὲ μακεδόνας. ΑΓΚΥΝΟΤΟΞΟΙ. ἐπικαμπῆ τόξα ἔχοντες. ΛΕΛΕΓΕΣ. ἔθνος καρικόν. λέγει δὲ τοὺς οὐ πάνυ γάσῳ πόλει καρίας οἰκοῦντας. ΚΑΥΚΩΝΕΣ. ἔθνος παφλαγονίας. οἱ δὲ σκυθίας. οἱ δὲ τοὺς λιγομένους παιονίους εἶπον. ΠΕΛΑΣΓΟΙ. οἱ τὸ παράλιον μέρος τῆς καρίας ἔχοντες. ἄμεινον δὲ λέγειν αὐτοὺς γένος τι πολυπλανὲς οἰκῆσαν οὐ τὴν ἀσίαν καὶ σύρπηξ. νῦν ἢ δὲ φαάδες πλησίον ὄθεν αἱ φάλλαι. ΠΡΟΣ ΘΥΜΒΡΗΣ. πρὸς τὸ θυμβραῖον πεδίον. θύμβρα γὰρ τόπος ὅθεν δὲ φοίβης ὄθεν καὶ θυμβραῖα ἀπόλλων ἱερὸν ἱπιφανές. ΕΛΑΧΟΝ. κλήρῳ ἔλαβον. ΑΓΕΡΩΧΟΙ. αὐθάδεις. θρασεῖς. ἴσι δὲ ὅτι ἁπλοῦν ἡ λέξις καὶ τοὺς ἄγαν αὐθρύπτους καὶ οὐτίμους, παρὰ τὸ ἄγαν αὐτοὺς ὀπὴ ἢ γέρως ἔχεσθαι. ΜΗΙΟΝΕΣ. λυδοί. ΔΙΕΞΕΡΕΕΣΘΕ. ἐρωτᾶτε. ΝΕΗΛΥΔΕΣ. νεωστὶ ἐληλυθότες. ΕΝ ΔΕ ΣΦΙΡΗΣΟΣ ΒΑΣΙΛΕΥΣ. ῥᾳδίως γένεσθαι μὲν ἂν θράξ. ὡς δὲ σφυμόνως τὸ αὐτόθι ποταμοῦ καὶ σύτερπες μιᾶς τῶν μυσῶν. διάφορος δὲ τῶν καθ' αὐτὸν γινομένων οὐ πολυμικοῖς ἔργοις, ἐπῆλθε τοῖς ἕλλησιν, ὅπως φασὶ συμμαχήσων καὶ μίαν ἡμέραν συμβαλὼν, πολλοὺς τῶν ἑλλήνων ἀπέκτεινε. δέσασα δὲ περὶ τῶν ἑλλήνων, ἂν νικᾶν ὀπὴ τῶν τούτου διαφθορὰν πέμπει. κατιλθοῦσα δὲ ἡ θεὸς. εὐναίαν καὶ διομήδην ὀπὴ τῶν κατακοπόντων ἐποίησε προιλθεῖν. ὑπισχνεῖτο δὲ ὑπάνοι κομιοῦν ῥήσῳ αὐτόν τι καὶ ἱκανὸν

γένει

ρους αὐτοῦ πλέονσι, ὡς ἱστορεῖ Πίνδαρος. οἵτοι ἢ λίγιστοι νηῶν παραγιγονέναι τὸν ῥῆσον εἰς τὴν Τροίαν. καὶ πεζὴ γὰρ σαφῶς αὐτὸν τοῦ ὕδατος ἅλις χώρας φορυσθῆναι. χρησμὸς γὰρ ἐλέλεκτο αὐτῷ φασιν. ὅτι εἰ αὐτὸς γεύσεται τοῦ ὕδατος, καὶ οἱ ἵπποι αὐτοῦ τοῦ σκαμάνδρου πίωσι, καὶ ἅλις ὑδάτων μὴς, ἀναταμάχητος ἔσται εἰς τὸ παντελές. ΕΝ ΔΕ ΣΦΙ ΡΗΣΟΣ ΒΑΣΙΛΕΥΣ. ἔσοι ἐκ μουσῶν τίκτονται. ὁρ φιὺς ἐκ καλλιόπης καὶ ὀλείους. λίνος τιτριχόρης. ὧς τινὸς σύτιρπης. ῥῆσος τιτριχόρης καὶ αὐτὸς ὢν σύτιρπης. θαλέης, παλαίφατος. ἰρατεῦς, θάμυρις ὁ θρᾴξ, μιλτομελὴς καὶ ἀχελῴος, σειρῆνος. πολυμνέας, ῥιπτόλεμος. ΛΕΥ ΚΟΤΕΡΟΙ ΧΙΟΝΟΣ ΘΕΙΕΙΝ ΔΑΝΕΜΟΙΣΙΝ ΟΜΟΙΟΙ. τοῦτο καλεῖται ὑπαιρβολή. ὁ γὰρ νοῦς λευκότεροι μὲν χιόνος τῇ χροιᾷ. τῷ δὲ τάχει, ἴσοι τοῖς ἀνέμοις. ἴσον δὲ ὅτι ὁμοίωσιν τὴν ὑπαιρβολὴν ἐκ τοῦ μὴ ἐπεῖν αὐτὸν καὶ τῶν ἀνέμων ταχυτέρους. ΛΕΥΚΟΤΕΡΟΙ ΧΙΟ ΝΟΣ, ΘΕΙΕΙΝ ΔΑΝΕΜΟΙΣΙΝ ΟΜΟΙΟΥ. δύο ὑπαιρβολὰς ἐπέθηκεν οὐτίχνως τὴν μὲν ἀπὸ ὑπαιρβάσεως. τὴν δὲ ἀπὸ ὁμοιώσεως. καὶ ἑφ' ἑκατέρας παρέλαβε τὸ οἰκεῖον. χιόνος μὲν γὰρ λύνατό τι λευκότερον γενέσθαι. ἀνέμου δὲ βᾶσσον οὐδέν. καλῶς οὖν τῷ μὲν ἀδυνάτῳ ἄπασι. τὸ δυνατὸν, μεῖζον ἀπέφηνε. ἐπαινετὸν δὲ ὅτι κατ' αἰτιολογικὴν συνάμφω ἐπεῖν, λευκότερος χιόνος. βέλεσιν δ' ἀνέμοισιν ὁμοίως, μὴ ὡς γ' ἐπέρριπτο τὸ μέρος. μετεμόρφωσε τὸν λόγον. θαυμασικῶς αὐαφωνήσας τὸν ἔπαινον αὐτῶν. ΠΕΛΩ ΡΙΑ. ἃ καλὰ τὸ μίγεθος νῦν μεγάλα. ἀλλὰ καλὰ τὸ πάλλες τράφια. ΝΗΥΣΙ ΠΕΛΑΣΣΕΤΟΝ. ἐπὶ τὰς ναῦς ἀγάγετε. ΝΗΛΕΙ. ἀνηλεῖ. σφοδρῷ. ΠΕΙΡΗΘΗΤΟΝ. πεῖραν λάβετε. ΑΜΑΣ. εἰς τὰς ἡμετέρας. ΑΠΟΛΥΣΟΜΕΝ. λύσαι λαβόντες ἀποπλεύσομεν. ΗΕ ΜΕΘΩΜΕΝ. ἢ ἐάσομεν

Α σαμψ αὖσαν λώρων. ΕΙΣΘΑ. ἴξαις. παράγενέσθαι· ἵλεως. ΔΙΟΠΤΕΥΣΩΝ. κατασκοπεύσων. ΕΜΗΣ ΥΠΟ ΧΕΡΣΙΝ. ὑπὸ τῶν ἐμῶν χειρῶν. ΑΠΕΚΕΡ-ΣΕΝ. ἀπέκοψεν. ἀπέτεμε. ΤΕΝΟΝΤΕ. τοὺς αὐχέ-
112 νας λίγα. ΦΘΕΓΓΟΜΕΝΟΥ. τὸ φόμακας τὸ φθέγξασθαι κινοῦντα. προῦλαβεν οὖν ἡ φωνητὶ πλαγάρ-
Β ΛΥΚΕΗΝ. λύκαι λοιποί. ΠΑΛΙΝΤΟΝΑ. ἐς τὸ πίσω ἐλκόμενα. ΚΑΙ ΔΟΡΥ ΜΑΚΡΟΝ. ὁ αὐτό ῥῳ ἄποντα ἔπι. ΛΗΙΤΙΔΙ. λαφυραγωγῷ. πολεμικῇ-ΤΟΙΣ ΔΕΣΣΙΝ. οἱ τούτοις. ΕΠΙΒΟΣΩΜΕΘΑ. ἐπὶ βοήθειαν καλεσόμεθα. γράφεται δὲ καὶ. ΕΠΙΔΩ ΣΟΜΕΘΑ. ἵν' ἢ λώροις τιμέσομεν. ΑΝΑ ΜΥΡΙ-
Γ ΚΗΝ. μυρίκη θαμνώδες φυτόν. ΔΕΕΛΟΝ. ἵνγνῶσον ὕδα-λον. ΣΥΜΜΑΡΥΑΣ. συλλαβών. κλάσας. ΔΟΝΑ ΚΑΣ. καλάμους ἀπὸ τοῦ δονεῖσθαι. ΕΡΙΘΗΛΕΑΣ. ἄγαν θάλλοντας. σύθαλλες. ΙΞΟΝ. παρεγένοντο. ΤΡΙΣΤΟΙΧΕΙ. ἐπὶ φᾶς τίχας καὶ τάξεις. ΔΙΖΥ ΓΕΣ. δύο ἵπποι ὑπὸ ζυγὸν ἀγόμενοι. ΕΞ ΕΠΙΔΙ-
Δ ΦΡΙΑΔΟΣ ΠΥΜΑΤΗΣ. ἵκτου ἰσχάτου μέρους τῆς ἁρμα τείου διφρευτικῆς περιφερείας. ὃ καὶ αὐτὸ καὶ ἐπωμίδιον καλεῖται. ΠΡΟΠΑΡΟΙΘΕΝ ΙΔΩΝ. πρότερον ἰδών. ΠΙΦΑΥΣΚΕ. προσύμαινεν. ἔλεγε. ΠΡΟΦΕ ΡΕ. φαντρὸν ποίει. ΜΕΛΕΟΝ. μελαίνας. ματαίας. ἁμάταιον. ΕΝΑΙΡΕ. φόνευε. ΕΠΙΣΤΡΟΦΑ-
Ε ΔΗΝ. σπεργῶς. σὐτόνως. ἢ ἄλλοτε ἐς ἄλλον ἐπιστρεφόμενον. σπαλάνας. ΣΤΟΝΟΣ. συναγμός. ΑΕΙΚΗΣ. καλιτός. ΑΟΡΙΘΕΙΝΟΜΕΝΩΝ. τῷ ῥίφει πλακτὰ μελάνων. ΕΡΥΘΑΙΝΕΤΟ, ἐρυθρὰ ἐγίγνετο. ἐφοινίατο. ΑΣΗΜΑΝΤΟΙΣΙΝ. ἀφυλάκτοις. ἀφρουτίστοις μὴ ἔχουσι σημεῖα. ΕΝΟΡΟΥΣΗ, ἐπιπεδήσῃ. ἐφορ-

μήσῃ

μῶσι. ΕΠΩΧΕΤΟ. ἐπῆρχετο. ΕΞΕΡΥΣΑΣΚΕ. μι A
θεῖκε. ΤΡΟΜΕΟΙΑΤΟ. φοβοῖντο. ΑΗΘΕΣΣΑΝ
ἀσωκήθεις ἦσαν. ΚΑΚΟΝ ΓΑΡ ΟΝΑΡ. κακὸς ὄνει
ρος ὁ διομήδης ἐπῆκε αὐτῷ, ὅτι νυκτὸς παθεῖν δοντα αὐτὸν
ἀνῆλον. ΟΙΝΗΔΑΟ ΠΑΙΣ. ὁ διομήδης οἰνίως ἴγγο
νος, τυδεὺς γὰρ οἰνίως ἦν υἱός. ΜΗΤΙΝ. βουλήν. ΤΑΗ
ΜΩΝ. καρτερικός. ΣΥΝ ΔΗΕΙΡΕ. σανίδησι δέ. ΕΠΙ B
ΠΛΗΣΣΩΝ. πλήσαν, ἐλαύνων. ΜΑΣΤΙΓΑ ΦΑ
ΕΙΝΗΝ. ἤτοι σιλπνήν, ἢ τὴν φανερῶς καμεῖνην. ΡΟΙ
ΖΗΣΕΝ. ἀναρθρως ἐφώνησεν, ὃ ἡμεῖς συρίζειν λέγομεν.
ΠΙΦΑΥΣΚΩΝ. φανεροποιῶν, σημαίνων. ΚΥΝΤΑ
ΤΟΝ. χαλεπώτατον, δεινότατον. ΝΟΣΤΟΥ. ἢ ἀνα
κομιδῆς. ΠΕΦΟΒΗΜΕΝΟΣ. φεύγων μετὰ φόβου. ΘΕ Γ
ΟΣΑΛΛΟΣ. ὁ ἡμῖν σαντίος. ΚΟΥΕΝ. ἔπληξεν,
ΕΠΕΤΟΝΤΟ. ἔρριχον, καθ' ὑπερβολήν. ΑΛΛΟΣ- 113
ΚΟΠΙΗΝ. μάταιον σκοπόν, ὃ ἔστιν ἀκίνδυνον αὐτόν. Ε
ΠΟΥΣΑΝ. ἤτοι ἐπομένην αὐτῷ, σωζῆσαι. ΕΡΗ
ΜΟΝ. ἠρεμωμένον, μονήρη. ΑΣΠΑΙΡΟΝΤΑΣ. ψυ
χορραγοῦντας. ΦΟΝΗΣΕΙ. τοῖς τόποις οὐ οἷς ἔκειντο οἱ νε Δ
κροί. ΟΝΟΜΗΝΕΝ. ἀφ' ὀνόματος ἐκάλεσε. ΚΥΔΟΙ
ΜΟΣ. ταραχή, θόρυβος. ΑΜΥΔΙΣ. ὁμοῦ καὶ ἐς τὸν
αὐτὸν τόπον φιχόντων. ΘΗΕΥΝΤΟ. μετὰ θώματος
ἰθώρευν. ΣΚΟΠΟΝ. κατάσκοπον. ΕΡΥΞΕ. κατέ
σχε. ΧΑΜΑΖΕ ΘΩΡΟΝ. χαμαὶ ἀλλόμενον. ΕΝΑ
ΡΑ ΒΡΟΤΟΕΝΤΑ. περιεκλώσας τὰ τόξα καὶ τὸ δόρ Ε
υ, κυρίως δὲ ἄρα λέγονται, ὅσα ἤραρε καὶ σωκόμισαι,
θώρηξ, κνημὶς, καὶ κνημῖδες. ΠΡΩΤΟΣ ΚΤΥΠΟΝ
ΑΙΕ. πρῶτος ἔ ψεφε τῶν ποδῶν τῶν ἵππων ὅσθετο ἀγωνι
ῶν, διὰ τὸ αὐτὸν εἰσηγητὴν γεγονέναι τῆς κατασκοπῆς, ὡς
οὖν γνάμην δὲς ἐς τὸ ἐκπεμφθῆναι ἄνδρας, ὃ μόνον ἦγω

Α νία περὶ αὐτῶν, σωτηρίαν ἡμῖν αὐτοῖς. ΨΕΥΣΟΜΑΙ Η ΕΤΥ
ΜΟΝ ΕΡΕΩ ΚΕΛΕΤΑΙ ΔΕ ΜΕ ΘΥΜΟΣ. πάντ
ψεύδεσθαί φησιν οὗτος· αὐτὸς ἀληθεύειν με ὁ πατὴρ ἀπαγγε
λῶν ἠξίωσε διὰ τὸ προθυμεῖσθαί με. ΕΤΥΜΟΝ. ἀληθές.
ΙΠΠΩΝ ΜΩΚΥΠΟΔΩΝ ΑΜΦΙ ΚΤΥΠΟΣ ΟΥ
ΑΤΑ ΒΑΛΛΕΙ. αὐτὶ τοῦ ἵππων ψόφος ἀκούω. ΕΛΑ
Β ΣΑΙΑΤΟ. ἀπηλακάτισθε ἐκεῖ. ΠΟΛΥΑΙΝΕ. ὑπὸ
πολλῶν ἐπαινούμενε ἢ πολλοῦ αἴνου ἄξιε. ΤΟΥΣ ΔΙΠ
ΠΟΥΣ ΛΑΒΕΤΟΝ. τούτους τοὺς ἵππους ἐλάβετε.
ΗΤΙΣ ΣΦΩΣΕ ΠΟΡΕΝ. ἤ τίς ὑμῖν αὐτοὺς παρέσχεν
ΑΝΤΙΒΟΛΗΣΑΣ. ἀπαντήσας. περιτυχών. ΑΙ
ΝΩΣ. λίαν. πάνυ. ΑΚΤΙΝΕΣΣΙΝ. ἀκτῖσιν. Ε
Γ ΠΙΜΙΣΓΟΜΑΙ, οὐ πῆμάχη σύνεμι. ΑΛΛΑ ΤΙ
ΝΥΜΜΟΙΩ ΔΟΜΕΝΑΙ ΘΕΟΝ ΑΝΤΙΑΣΑΝ
ΤΑ. ἀλλὰ ὑπολαμβάνω ὑμῖν τινὰ τῶν θεῶν αὐτοὺς δε
δωκέναι. ΗΕΠΕΡ ΟΙΔΕ. ἢ ὡς οὗτοι οἱ ἵπποι. ΝΕΗ
ΛΥΔΕΣ. νεωστὶ παραγενόμενοι. ΕΡΕΙΝΕΙΣ. ἐρω
τᾷς. ΠΑΡ ΔΕ. παρ' αὐτὸν δέ. ΕΤΑΙΡΟΥΣ ΔΥΟ
Δ ΚΑΙΔΕΚΑ. πῶς δέφησιν. ἰδ. φονεύσας ῥῖσπαν δέπαε
τον λέγει Λύδωνα. ῥητέον οὖν ὅτι ὅμηρος ἀεὶ τοὺς βασι
λεῖς τῶν στρατιωτῶν χωρίζει κατ' ἐξοχήν. ἔθει οὖν κεχωρί
σθαι κατὰ τὸν ἀριθμὸν ὁ ῥῶσος. ὡς ἐπὶ τοῦ Διὸς δ' ἐπεὶ οὖν
ῥῶσάς τε νηοὶ ἵκτορα νυσὶ πίλασαι. ΔΙΟΠΤΗΡΑ. κα
τάσκοπον. ΑΓΑΥΟΙ. νῦν οὐ ἐρωνέας μέρει κεῖται.
Ε ὁ γὰρ ἐπαινεῖν πρέπει τοὺς πολεμίους. ΚΑΓΧΑΛΟ
ΩΝ. χαίρων. ΙΠΠΕΙΗΙ. τῇ τῶν ἵππων. ΝΗΙ ΕΝΙ
ΠΡΥΜΝΗΙ. αὐτὶ τοῦ οὐ νεὼς πρύμνη. ΟΦΡΙ
ΡΟΝ. περὶ θυσίας σαφῶς λέγει. περὶ ἧς ἐσιώπησεν.
ΙΡΟΝ. ἱερεῖον. σφάγιον. ΑΜΦΙ ΤΕ ΜΗΡΟΥΣ
ηχὶ ἀμφοτέρους τοὺς μηρούς. ΣΦΙΝ. αὐτὶ τοῦ σφῶν.

ὅ ἐστιν

ὅ ἐστιν αὐτῶν, ΑΝΕΨΥΧΕΝ. ἀνιπτάσατο. Α
ΑΣΑΜΙΝΘΟΥΣ. πυίλας σκάφας παρὰ τὴν ἄσιν 114
τὸν ῥύπον μινύθειν, ὅ ἐστιν ἐλαττοῦν καὶ μειοῦν. ΕΥΞΕ-
ΣΤΑΣ. καλῶς ἐζεσμένας. ΛΙΠΑ. λιπαρῶς ἢ
δυνατῶς. ΕΦΙΖΑΝΕΤΗΝ. παρεκάθηντο. ΠΛΕΙΟΥ.
γέμοντος. ΑΦΥΣΣΑΜΕΝΟΙ. ἀπαντλήσαντες,
ἀρυσάμενοι.

ΣΧΟΛΙΑ ΕΙΣ ΤΗΝ Λ΄ ΤΟΥ ΟΜΗΡΟΥ ῥαψῳδίαν.

114 Α ΩΣ ΔΕΚ ΛΕΧΕΩΝ ΠΑΡΑ ΓΑΥΟΥ ΤΙΘΩΝΟΙΟ ΩΡΝΥ ΤΟ. μυθεύεται ὅτι τιθωνὸν τὸν λαο μέδοντος ὑπριπίσατον τῶν παῤ αὐτὸν οὐ ἰλίῳ γονόμενον, ἁρπαθεῖσα αὐὴρπασον ἡ ἡμέρα, ἢ τοῖς τότε μιτίλαβε κοίτης, αὐτησε Β μενῷ δὲ αὐτῷ παρίσχον ἀθανασίαν, ὁ δὲ γέρων γονόμενος, διὰ γὰρ ἄγνοιαν, ἃν ἠτήσατο ἀθανασίαν σὺν ἀγκρασία, ἀχθόμενος ὡς τῶν οὐ βίῳ μεταλαμβάνειν δ' ἀπωλόμενος, ἵνα λιπ τῶν ἑαὐτοῦ ὅπως αὐτὸν τοῦ ζῆν ἀπαλλάξῃ, ἡ δὲ ἀδὲ γὰρ ἦν ἀπωατὸν ἀποθανεῖν αὐτὸν, μετίβαλον εἰς τέττιγα τὸν μου σικώτατον τῶν πτηνῶν, ὅπως ἡ διὰ φωνῆς αὐτο τέρπη Γ ται, γίγνεται δὲ ἐξ αὐτῶν παῖς, μέμνων ὁ τῶν αἰθόπων βα σιλεύς. ΕΚ ΛΕΧΕΩΝ. ἐκ δὲ κοίτης. ΑΓΑΥΟΥ. ἄγαν ὀνδ' ὄξε, καλῶ. ΤΙΘΩΝΟΙΟ. τιθωνῶ, τιθωνὸς δ' ἐστὶ λαο μέδοντος μὲν παῖς, ἀδελφὸς δὲ πριάμου, ἡμέρας σώσυνος. ΠΡΟΙΑΛΕ. προέπεμπον, ἀπέστελλον, ὀξέπεμπον. ΑΡ ΓΑΛΕΗΝ. ἄλγη ἐπιφέρουσαν. ΤΕΡΑΣ. περιφρασικῶς Δ τὸν πόλεμον. ΜΕΣΣΑΤΩι. μεσαιτάτῳ. ΓΕΓΩΝΕ ΜΕΝ. βοᾷν. ΕΙΡΥΣΑΝ. ἀνέλκυσαν. ΚΑΡΤΕΙ. ἰσχύϊ. ΟΡΘΙΑ. ὀρθῶς, αὐξητικῶς, μεγάλως. ΖΩΝ ΝΥΣΘΑΙ. καθοπλίζεσθαι, σωκικὸ σχικῶς ἀπὸ μέρος. ΝΩ ΡΟΠΑ. λαμπρόν. ΞΕΙΝΙΟΝ. ξένιον. ΠΕΥΘΕΤΟ, ἠκούετο.

ἐκέατο. ΚΥΠΡΟΝ ΔΕ. ἴως ἐς κύπρον. ἐκέατο δὲ ἴως Α
ἐς κύπρον. ΚΛΕΟΣ. φήμη. ΟΥΝΕΚΑ. νῦν αὖτε τὸ ὅτι.
ΡΙΜΟΙ. ὀδοὶ, στίχοι. μεταληπτικῶς αὐτὶ τῶν ῥάβδοι. ΚΥΑ
ΝΟΙΟ. χρώματι κυανῷ ἐκασμένον. ΚΥΑΝΕΟΙ. μέ
λανδε. ΟΡΩΡΕΧΑΤΟ. ᾠήκατο, ἐλαγηβόλοι ἦ-
σαν, ἐκτικαμένοι. ΙΡΙΣΣΙΝ. ταῖς οὐρανῷ ἴρισι φαινομέ
ναις, ἴρις δ' ὅτι παῖδος πρὸ τὸν πέρα οὐ νέφει σωκτικαμέ Β
νην ἐξ ἁλιακῆς ἀκτῖνος. ΣΤΗΡΙΞΕΝ. ἔστησεν, ἔδρασεν.
ΑΟΡΤΗΡΕΣΣΙ, τοῖς ἀπαωρῆσι τὸ ξίφος ἱεμένοις. ΠΟΛΥ
ΔΑΙΔΑΛΟΝ. πολλὰς κατασκευὰς ἔχουσαν. ΘΟΥΡΙΝ.
ἄτοι ὠσιμικλίν. ἢ δυκίνητον καὶ κόφιμα τῷ φορεῖντι. ΓΟΡ
ΓΩ. γοργότητος καὶ δίους παρασκευαστικὴ καὶ φυγῆς τῶν Γ
ὁρώντων. ΒΛΟΣΥΡΩΠΙΣ. φοβερὰ καὶ καταπληκτικὴ
τὴν πρόσοψιν. ΕΣΤΕΦΑΝΩΤΟ. περιεῖχε, περικέκειτο. 107
ΔΕΡΚΟΜΕΝΗ. βλέπουσα. ΤΕΛΑΜΩΝ. ἀναφορέα.
ΑΜΦΙΣΤΡΕΦΕΕΣ. ἐξ οὗ σώματος τῶν δράκοντος φῆ
ἐπιφύκεισαν πλοκαὶ ἀλλήλαις συμπεπλεγμέναι. ΑΜ
ΦΙΦΑΛΟΝ. ἀμφοτέρωθεν φαλὸς ἔχουσαν. ΑΠΑΥΤΟ
ΦΙΝ. ἀπ' αὐτῶν. ΕΠΙ ΔΕΓΔΟΥΠΗΣΑΝ. ἐπεπλήγη Δ
σαν, ἐπιβρόντησαν. Π'ΡΥΛΕΕΣ. πυλοὶ ὁπλῖται. ΡΩΙΟΝ
ΤΟ. ὅρμων. ΗΩΘΙΠΡΟ. πρὸ τῆ αὐτοσκῆς, πρὸ ἡμέρας.
ΦΟΑΝ. ἔφθασαν. ΦΟΑΝ ΔΕ ΜΕΓΙΠΠΗΩΝ
ΕΠΙ ΤΑΦΡΟΝ ΚΟΣΜΗΘΕΝΤΕΣ. τινὲς ὑπερβ
βατὸν τοῦτο νοοῦσι μεγάλως κοσμηθέντες ἔφθασαν, τὸ οὖν
μέγα, τῷ κοσμηθέντες συντάττεται. ΦΟΑΝ ΔΕ Ε
ΜΕΓΑ. μεγάλως ἔφθασαν. ΜΕΤΕΚΙΑΘΟΝ.
μετ' αὐτοὺς ἦλθον. ΟΛΙΓΟΝ ΜΕΤΕΚΙΑΘΟΝ.
μετ' ὀλίγον ἐκεῖ ἐπορεύοντο. ΚΥΔΟΙΜΟΝ. θόρυβον.
ΕΕΡΣΑΣ. ῥόσους. ΜΥΔΑΛΕΑΣ. ἁλυκρόχους,
φίγγος. ἐξήπτηται τῶς φηδίχετο αἷμα, ἔχειν τὰς πλοκὰς,
καὶ λίγη

Α ηχὴ λέγουσιν οἱ λύοντες τὸ ἀμφίβολον, ὡς ὧδε μεγίστῳ πολ-
μῳ, πολλῶν αὐαρμυρύων, τὸ ἅλμα τότων ἐπλήρατες πλε-
ίονι ποταμῷ, ἀφ' ὧν αἰ νῆες λαμβάνουσι τὸ ὕδωρ, αἱ
ματώδεις ῥόοις ἔπιπτον. ΘΡΩΣΜΩι. τύπῳ ὑγιλῷ οὐ
τῷ πιδίῳ ἀφ' οὗ ἦν καθορᾶν. ΟΥΛΙΟΣ. ὀλίθριος, λέγει
δὲ τὸν κύνα, περὶ οὗ ἠκὲ ἀλλαχόθι φησὶν ὁ ποιητής, καὶ
Β τι φέρει πολὺν πυρετὸν λειποῖσι βροτοῖσι. ΣΚΙΟΕΝΤΑ.
σκιὰν παρέχοντα, ταῦτα γὰρ συσκιάζει τὸν ἀέρα. ΦΑΝΕ
ΣΚΕΝ. φαίνετο. ΠΥΜΑΤΟΙΣΙΝ. ἰσχάτοις. ΣΤΕ-
ΡΟΠΗ. ἀστραπή. ΑΜΗΤΗΡΕΣ. θεοῖς ἀί. ΕΝΑΝΤΙ
ΟΙ ΑΛΛΗΛΟΙΣΙΝ. ἐρίζοντες ἀλλήλοις. ΟΓΜΟΝ.
τὸ ἐπίσχον ἔργον τῶν θεριζόντων. ΕΛΑΥΝΩΣΙ, θερίζω-
Γ σι σπεύδοντες. ΜΑΚΑΡΟΣ. πλούσιος. ΤΑΡΦΕΑ. συγ-
χεῖ, πυκνά. ΘΟΡΩΝΤΕΣ. ἐφορμήσαντες. ΔΗΙΟΥΝ.
ἐτίρωσκον, ἐλίκοπτον. ΜΝΩΩΝΤΟ. μνείαν ἐποιοῦντο.
ΙΣΑΣ ΔΥΣΜΙΝΗι ΚΕΦΑΛΑΣ ΕΧΟΝ. κατὰ
μίαν εὐθείαν ἔχοντας κεφαλάς. ὅ ἐστιν ἐλίσσετο αὐτοῖς ἡ
μάχη. ΘΥΝΟΝ. εὐθυσιωδῶς ὥρμων. ΠΑΡΕΤΥΓΧΑ
Δ ΝΕ. παρῆν. ΟΡΕΞΑΙ. παρασχᾶν. ΟΥΚ ΑΛΕΓΙΖΕΝ.
116 ἐπιφρόντιζε. ΣΤΕΡΟΠΗΝ. λαμπηδόνα. ΔΡΥΤΟ-
ΜΟΣ. ὑλοτόμος, ξυλοτόμος, ἀρὼν γὰρ ἐκάλουν οἱ παλαιοὶ
τὰν λόγχην ἀπὸ τῶ ἀρχαιοτέρω. ΩΠΛΙΣΣΑΤΟ. πα-
ρασκευάσατο, ἡτοίμασεν. ΕΚΟΡΕΣΣΑΤΟ ΧΕΙΡΑΣ.
αὐτὶ τῶ ἔλαβεν, ἐκοπίασεν. ΑΔΘΣ. κόρος. ΙΜΕΡΟΣ.
Ε ἐπιθυμία, ἔρως. ΤΗΜΟΣ. τηνικαῦτα, καθ' ἣν ὥραν, τότε.
ΣΦΗι. τῷ ἑαυτῶν. ΚΕΚΛΟΜΕΝΟΙ. παρακελευόμενοι.
ΚΑΤΕΠΑΛΜΕΝΟΣ. καθαλλόμενος, καθορμήσας.
ΜΕΤΩΠΙΟΝ. τὸ μεταξὺ τῶν ὤτων, τὸ μισόφρυον.
ΣΧΕΘΕΝ. αὐτίσχι. ΧΑΛΚΟΒΟΡΕΙΑ. τῷ χαλ-
κῷ βαρυμόνῃ, ὅ ἐστιν ἐσχυρᾷ. ΠΕΠΑΛΑΚΤΟ.
ἠφύρητο,

ῥύετο, ἐμολύνετο. ΣΤΗΘΕΣΙ ΠΑΜΦΑΙΝΟΝΤΑΣ Α
ΕΠΕΙ ΠΕΡΙ ΔΥΣΣΕΧΙΤΩΝΑΣ. ἐπειδή φησι τὰς οὐ τοῖς σώμασιν αὐτῶν χιτῶνας ἀφέλετο, ἢ γυμνὰς φασὶ νομίζειν τὰς νικηφόρους ἱματίοις. ΒΗΡΗΣΟΝ ΤΕ ΚΑΙ ΑΝΤΙΦΟΝ. ἴδιον ἀδελφὸν τοῦ ἡμίσεος καὶ αὐτιφόνου. ΠΑΡΑΙΒΑΣΚΕ. παραιβάτης ἦν. ΩΠΟΤΕ. ὅς ποτε ἀνίκησε. ΚΝΗΜΟΙΣΙ. ταῖς προβάσεσι. ΔΕΙΔΗ. ἴδησι. ΜΟΣΧΟΙΣΙ ΛΥΓΟΙΣΙΝ. ἁπαλοῖς λύγοις. ΕΠΟΕΣΣΙΝ. ἀδελφοῖς ποιμνίοις. ΕΛΥΣΕΝ ΑΠΙΝΩΝ. λύσας δὲ ἁμίλλης ἀπέδωκεν. ΕΛΑΣΕΝ. ἤλασε. ΣΠΕΡΧΟΜΕΝΟΣ. κατασπειρόμενος, σπόρον. ΑΠΟΤΟΙΙΝ. ἀπ' αὐτῶν σημεῖα. ΞΥΝΕΑΣΕ. συνίδρυσεν. ΑΠΑΛΟΝ. νέον. ΔΡΥΜΑ. δρυμῶνας, συνδένδρους τόπους. ΦΕΥΓΟΝΤΟ. Γ
ἔφυγον. ΜΕΝΕΧΑΡΜΗΝ. ὑπομένοντα τῷ μάχῃ, πολεμικόν. ΑΛΕΞΑΝΔΡΟΙΟ. παρὰ ἀλεξάνδρου. ΚΥΚΗΘΗΤΗΝ. ἐταράχθησαν. ΓΟΥΝ ΑΖΕΣΘΗΝ. τὸ γονάτων ἅπτεσθαι, ἱκέτευον. ΠΡΟΣΑΥΔΗΤΗΝ. προσφώνουν, προσῳδίγγοντο. ΑΜΕΙΛΙΚΤΟΝ. ἀνδρῶν, σκληρόν. ΑΓΓΕΛΙΗΝ. αὐτὶ τοῦ ἐς προσβολήν. λέγει δὲ σημαίνει ἀγγελίαν, παρὰ ἄγγελμα ὡς οὐ τῷ ἀγγελίᾳ ἔοικεν περίφρονι πανοπλοπείᾳ, καὶ τὸν ἄγγελον, ἤτοι τὸν προσβολήν, ὡς οἰκεῖόν, ἀγγελίην ἐλθόντα σὺν αὐτιβίῳ ὀδυσῆι. ΕΞΕΜΕΝ. ἐβιῶσαι, ἐκπίμψαι. ΛΕΙΚΕΩ. χαλκοῦν. ΟΥΔΕΙ ΕΡΕΙΣΘΗ. πρὸς τῇ γῇ ἐρείσθη, ἐσηρείχθη. ΟΛΜΟΝ ΔΩΣ ΕΣΣΕΥΕ. ὅλμον δὲ λίθινον αὐτὸν εἶπας πυλίσθαι, ὅλμος δέ ἐστι πέτρος λίθος ἐς ὃν κόπτεται ὅσπρια καὶ ἄλλα τινά. ΧΑΛΚΩΙ ΔΗΙΟΟΝΤΕΣ. ἤτοι τοῖς ἐπισώροις κόπτοντες, ἢ ἵππου σωρακίῳ, τοῖοι μὲν τοῖσδε ὅλκιον, ἵππεῖς δ' ἱππάων, οὕ γὰρ οἱ τῶν ἵππων τόσσον χαλκῷ ἐτέρωσεν. ΟΛΕΚΟΝ. σύμπηγμα τὸ σμικρὸν διὰ τὸ μέγεθος. ΩΡΣΑΝ. διήγειραν.

ΑΞΥΛΩΙ.

Α ΑΞΥΛΩι. καταξύλῳ, πολυξύλῳ, τὸ μὰρ ἄνυν, ἢ κατὰ φέρησιν, ἀλλὰ κατ' ἐπίτασιν. ΕΛΥΦΩΝ. ἐλῶν, τὰ φάσωμ. ΟΙ ΔΕ ΤΕ ΘΑΜΝΟΙ. ἡγοὶ οἱ σύμφυτοι τόποι παρὰ τὸ θαμὰ πεφυτεῦσθαι αὐτὰς ὅ ἐστι πυκνῶς; οἱ δὲ τὰ χαμαίζηλα ἡγοὶ πολύπλαδα φυτά. ΠΡΟΡΡΙΖΟΙ. μίσχοι τῶν ῥιζῶν, τῶν γὴ κάτω γῆς τὸ πῦρ ἐχ' ἅπλετα. ΠΥΡΟΣ
Β ΟΡΜΗι. τῷ πυρὶ περιφραγικῶς. ΚΑΡΗΝΑ. ἀπὸ μίρος ἀνθρώπου, οἱ δὲ ἀκρωτήρια. ΚΕΝΟΧΕΑ. κοιλὰ τὰ ἅρματα. ΚΡΟΤΑΛΙΖΟΝ. αὐτὶ τοῦ ἤλκοντο δ' ἠχὼ ἐποίημ. ΚΕΙΑΤΟ. ἴκειντο. ΠΟΛΥ ΦΙΛΤΕΡΟΙ. πολὺ πρὸς φιλίτιροι. ΥΠΑΓΕΝ. ὑπεξῆγον, ὑπέφιρι. ΚΟΝΙΗΣ. πρὸ τῷ πολίμῳ κονιορτὸ. ΑΙΜΑΤΟΣ. φόνῳ. ΚΥΔΟΙ
Γ ΜΟΥ. βορύβῳ, πραγῆς. ΣΦΕΔΑΝΟΝ. ἐπεκτικπόρ, σφοδρόμ, ἢ καταπληκτικόμ. ΚΕΛΕΥΩΝ. παρακελευόμενος. ΕΡΙΝΕΟΝ. ἀγρίαν σφῆμ. ΙΕΜΕΝΟΙ ΠΟΛΕΩΣ. ἐπιθυμοῦντις αἱρεθῆν ὑπὸ τῶν πόλεμ. ΝΥΚΤΟΣ ΑΜΟΛΓΩι. τῷ παιρῷ ὃ ἢ συμβίβηκον ἀμέλγεσθαι τὰ θρέμματα, τινὲς δὲ τὸ μισονύκτιον, ὅτι ὑδρὶς μολίσκῃ ὑδρὶ πρόσει. ΤΗΣ
Δ ΔΕΤΙΗι. μιᾷ δ' τινι αὐτ. ΑΝΑΦΑΙΝΕΤΑΙ. ἐπίρχεται. ΑΙΠΥΣ. ὑψηλός, ἢ οὐ μίγας ἡγοὶ ὀλίβριος. ΕΓΚΑΤΑ. οὐ τοσῶδε. ΛΑΦΥΣΣΕΙ. μετὰ ποιῆ ἦχ' ἀναῤῥοφεῖ, ἢ κινεῖ ἐοῦσαν, παρὰ τὸ γλαφυρὸν ποιεῖν, ὅ ἐστι κοῖλον. ΕΦΕΠΕ. κατόπιν ἰδίωκον. ΟΠΙΣΤΑΤΟΝ. τὸν ὄπισθεν. ΠΕΡΙ ΠΡΟ ΓΑΡ ΕΓΧΕΙ ΘΥΕΝ. περιασῶς γὴ ἡγοὶ ὀθνείως
Ε θῶς ἐς τ' ὄμπροσθον ὥρμα, ἵν' ἢ κατιποιήμεν αὐτὲς τῷ ὁράτει. ΕΝΙΣΠΕΝ. ἔπιν. ΑΝΩΧΘΩ. κιλονίτω. ΤΥΠΕΙΣ. πληγέις. ΒΛΗΜΕΝΟΣ. βληθείς. ΕΙΣ ΙΠΠΟΥΣ ΑΛΕΤΑΙ. εἰς τὸ ἅρμα ἀνίλθη. ΠΟΔΗΝΕΜΟΣ. ἴσην αὐίμοις κατὰ τὸ τάχος. ΙΡΗΝ. ἰραύ, μιγάλη. ΤΕΙΝ. σειθωρικῶς. ΥΠΟΣΚΕ, ὑποχώρει.

ΑΡΤΥ-

ΑΡΤΥΝΘΗ. παρισπουάσθη, ἀτιμάσθη. ΚΛΕΙ- Α
ΤΩΝ. ὀνόξεως, ὀνομαστῶν. ΑΝΤΗΝΟΡΙΔΗΣ. ὁ τῆς
τήνορος παῖς ἰφιάνασσα. ΚΙΣΣΗΣ. κισσύς. ΜΗΤΡΟ-
ΠΑΤΩΡ. ὁ ἢ μικρὸς πατήρ. ΕΡΙΚΥΔΕΟΣ ἢ μι-
γάλως ὀνόξεως. ΕΚ ΘΑΛΑΜΟΙΟ. αὐτὶ τοῦ γιγαμμένοι
ἐν ναυσί. ΜΕΤΑ ΚΛΕΟΣ ΙΚΕΤΑΧΑΙΩΝ. με-
τὰ τῶν ἀκολουθούντων τῶν Ἑλλήνων κλεινὸν ἀφ' Β
ἡμῶν ἀκούσας ὅτι ἐπιστράτευσαν τὴν Τροίαν. ΤΑΣ ΜΕΝ
ΕΠΕΙΤΕΝ ΠΕΡΚΩΤΗΣ ΛΙΠΕΝ. ἐβαλαν ἐκ πάτερ 109
γὰρ οἱ Ἕλληνες, διὸ τὰς ναῦς καταλιπὼν, ἐπὶ τὴν Ἴλιον ἐπὶ
Τροίαν, ἣ δὴ πρώτη πόλις ἐλήφθη. ΑΤΡΕΙΔΗΣ
ΜΕΝ ΑΜΑΡΤΕΝ. ἀπέτυχε, τὴν μὲν ὁ πρότερος νι- Γ
κᾶν ἢ δεύτερον ἀφεὶς. οἱ δὲ τὰς ἄλλας μονομαχίας τιτύ-
ρται ὅτι ὁ πρότερ@ ἀφεὶς νικᾶται. ΟΥΔΕΤΟΡΕΝ.
ἢ δὲ δείκνυσιν. ΑΝΤΟΜΕΝΗ. σωτυχοῦσα, ἀναστή-
σασα. ΕΤΡΑΠΕΤΟ. ἐς τὸ πίσω ἀνέβαπτε. ΟΙΚ-
ΤΡΟΣ. ἐλεεινὸς ἢ οἰκτίσεως ἄξιος. ΑΣΤΟΙΣΙ. τοῖς ἰδίοις
πολίταις. ΗΣ ΟΥΤΙ ΧΑΡΙΝ. παρ' ἣν οὐδὲν αὐτῷ Δ
χαρίεν οὐδὲ ἡδὺ ἐγένετο. ΠΟΛΛΑ ΔΕΔΩΚΕ. πρὸς
λαπτέον τὸ ὕδωρ. ΑΣΠΕΤΑ. ἀπαρακολούθητα πολλά.
ΕΞΕΝΑΡΙΣΕΝ. ἀπέκλαυσεν, ἐκπύλυσεν. ΑΡΙΔΕΙ
ΚΕΤΟΣ. παῦν εὐδοξος, ἀπριπίστατος. ΕΥΡΑΞ. ἐν
πλαγίᾳ. ΔΙΕΣΧΕ. διεξῆλθεν. ΑΝΕΜΟΤΡΕΦΕΣ.
ἔτοι κῦφον, ἢ ἀνέκπτωτον, ἢ στερεόν. τὰ γὰρ οὐ αὐξόμενα πλέον Ε
γυμναζόμενα δόνδρα στερά. ΟΠΑΤΡΟΝ. ὁμόπα-
τρον. ΑΥΤΕΙ. ἰθύει, ἐπάλει. ΤΟΙΟ ΔΕ. τότε δή.
ΕΠΙΦΙΔΑΜΑΝΤΙ. ὡς ἐπιξύνῳ χρησάμενο@
τῷ τοῦ ἰφιδάμαντ@ σώματι, ἐπίξυνον δὲ, τὸ ἐπίκοπον,
ὅτι ἐν αὐτῷ ξαίνεται τὰ ἡρία. ΑΝΗΝΟΘΕΝ.
ἀνῳρύττετο. ΕΤΕΡΣΕΤΟ. ἐβραύετο δὲ ἐκ τοῦ
ἅματ@

Α ἄματος νεοῖος. ΟΞΕΙΑΙ. δριμεῖαι σφοδραί. ΔΥΝΟΝ
ΜΕΝΟΣ ΑΤΡΕΙΔΑΟ. τὸν ἀγαμέμνονα κατίσχυε.
ΒΕΛΟΣ ΟΞΥ. ἡ σφοδρὰ ὀδυόν, οἷον ἡ τιτρώσκουσα.
ΠΡΟΙΕΙΣΙ. προπέμπουσι. ΜΟΓΟΣΤΟΚΟΙ. ἀπὸ τοῦ μό
γις κυφίζουσαι τῶν τικτόντων. ΕΛΕΙΘΥΙΑΙ. θεαὶ τῶν τικ
τόντων φροροί, διὸς καὶ ἥρας θυγατέρες. ΔΥΝΟΝ. κατι-
Β δύοντο, ἐπαισχύνθην. ΗΧΘΕΤΟ. ἐβαρεῖτο, ἐλυπεῖτο. ΓΕ
ΓΩΝΩΣ. παρακελευόμενος, βοῶν. ΑΦΡΕΟΝ. ἀφρῷ
ἐπλήρουντο, ἔθρυπ. ΟΙΧΕΤΑΙ. φορεῖται. ΩΡΙΣΤΟΣ.
ἄριστος, ἰσχυρός. ΥΠΕΡΤΕΡΟΝ ΕΥΧΟΣ. μιγάλως
τῇ ὄρῃ ὑπερίσχυε. ΘΗΡΗΤΗΡ. κυνηγέτης. ΣΕΥΗι.
ἐπισύρει, ἐφορμᾷ. ΑΓΡΟΤΕΡΩΙ ΣΥι. ἀγρίῳ χοίρῳ,
Γ τῷ πάπρῳ, ἀεὶ γὰρ διερμηνεύων ὁ ποιητὴς λέγει, παρὰ μέν τοι
τῷ κωμικῷ λέγεται ὑφ' ἓν σύαγρος. ΥΠΕΡΑΕΙ. ἐκδὺ ὕ-
ψους καὶ ὑπὲρ ὑμᾶς φερομένη. ΑΕΛΛΗι. συναρπᾷ ἀνέ-
μου. ΚΑΘΑΛΛΟΜΕΝΗ. καταπίπτουσα. ΙΟΕΙΔΕΑ.
μίλακα, διὰ τὸ βάθος. ΚΛΥΤΙΔΗΝ. κλυτὸν σῶμα.
ΣΤΥΦΕΛΙΞΗι. διασείσῃ, πλήξῃ. ΑΡΓΕΣΤΑΟ
Δ ΝΟΤΟΙΟ. τοῦ νοτιωτάτου, ἢ τοῦ ταχίστου, ὁ γὰρ ὄμβρος τὸ
σαρὰς αὐτοῦ μόνης οἶδε. ΒΑΘΕΙΗι. ἀντὶ τοῦ μεγάλῃ,
ἰσχυρᾷ. ΛΑΙΑΠΙ. τῷ μετὰ ὄμβρου ἀνέμῳ. ΤΡΟΦΙ
ΚΥΜΑ. εὐφαρίς, εὐπαγές. ΑΧΝΗ. ὁ ἀφρός. ΕΞ
ΑΝΕΜΟΙΟ. ἀπὸ ἀνέμου. ΠΟΛΥΠΛΑΓΚΤΟΙΟ.
πολυπλανήτου. ΙΩΗΣ. πνοῆς. ΕΡΓΑ ΓΕΝΟΝ-
Ε ΤΟ. ἀρχαϊκώτερον σωτήτακται, καὶ πολύ ἐστι παρ' αὐ-
τῷ τὸ εἶδος, ἢ μᾶλλόν τοι σωήθεια τοῖς πλουτωτικοῖς ὀδυτήρσι
οὐκὰ σωστάσεα ῥήματος. ΑΜΗΧΑΝΑ. χαλκᾶ. ΚΕ
ΚΛΕΤΟ. παρακεκλίνητο. ΛΕΛΑΣΜΕΘΑ. ἐπιλι-
λάσμεθα. ΕΛΕΓΧΟΣ. αἰσχύνη, ὄνειδος. ΗΔΟΣ. ἀφὴ
120 λεια. ΕΘΕΛΕΙ, βάλῃ. ΚΥΔΟΙΜΕΟΝ. ἐθορύβεμ-
ἐταράσσομ.

ἱτάρασσον. ΘΗΡΕΥΤΗΙΣΙ. θηρατικοῖς. ΠΕΣΗ- Α
ΤΟΝ. ἐμπίσωσιν. ΟΛΕΚΟΝ. ἀνήρηται τὸ ο μικρὸν
διὰ τὸ μέτρον. ΠΑΛΙΝΟΡΜΕΝΩ. ἐπὶ σὲ φυγὴν ἐπι-
στραφόντες ἐς τὸ πρόσω ὁρμήσαντες. ΔΗΜΟΥ ΑΡΙΣ-
ΤΩ. δημότας ἀρίστους. ΠΕΡΚΩΣΙΟΥ. ἀπὸ περικώ-
της πόλεως ἰλλησπόντου. ΕΑΣΚΕΝ. ἔα. συνεχώρει.
ΣΤΕΙΧΕΙΝ. παραχίγνεσθαι. ΚΗΡΕΣ ΓΑΡ Α- Β
ΓΟΝ. ἰσχυροτέρα γὰρ ἡ μοῖρα θανατηφόρος. ΚΕΚΑ-
ΔΩΝ. χωρίσας. τρήσας. ΠΑΙΟΝΙΔΗΝ. παίονος
παῖδα. ΚΥΛΙΝΔΕΤΑΙ. ἐπιφέρεται. ἐπέρχεται. ΑΛΕ-
ΞΩΜΕΘΑ. ἀμυνώμεθα. ΤΙΤΥΣΚΟΜΕΝΟΣ. κα-
ταστοχαζόμενος. ΠΛΑΓΧΘΗ ΔΑΠΟ ΧΑΛΚΟ
ΦΙ ΧΑΛΚΟΣ. ὑπὸ τοῦ δι' ἡμικυκλαλείας χαλκοῦ ἀ- Γ
πεκρούσθη τὸ δόρυ. ΟΥΔΕΙΚΕΤΟ. δ' ἀλλ' ἀφίκετο.
ΑΥΛΩΠΙΣ. τὴν ὑπ' αὐτῇ λόφον αὐτοῦ ἐμεμβρυϊχωσα.
ἐς ὃν οἱ κῶλοι κατακλείονται. αὐλοὶ δὲ ἐσιν αἱ τρῆναι.
ΑΠΕΛΕΘΡΟΝ. ὃ οὐκ ἔστι πλίθρῳ μιχθῆναι. βέλει δὲ
λέγειν ὅτι ἀπὸ τοῦ δίκης μεγάλως ἤλλατο. ΠΑΧΕΙΗΙ.
ἰσχυρᾷ. ΩΙΧΕΤΟ. ἐπορεύετο. ΜΕΤΑ ΔΟΥΡΑ- Δ
ΤΟΣ ΕΡΩΗΝ. ὁρμὴν. αὐλοὶ γὰρ τὴν ὑποχώρησιν.
ΚΑΤΑΠΗΣΑΤΟ. κατηνίχθη. ΑΜΠΝΥΤΟ. αὖ-
σωφρονίσθη αὐτίσθη. ΕΠΑΙΣΣΩΝ. ἐπισείων. ἐφορ
μῶν. ΚΥΟΝ. αὐαλέσατε. ΗΘΗΝ ΣΕ. παύσει δὲ σε.
ΕΞΑΝΥΩ. ἐπὶ τέλος ἄξω. φονεύσω. ΕΠΙΕΙΣΟΜΑΙ.
ἐπελεύσομαι. ΤΙΤΑΙΝΕΤΟ. ἔτεινε. ΣΤΗΛΗΙ ΚΕΚ
ΚΛΙΜΕΝΟΣ. τῷ ἐπὶ τοῦ τάφου στήλῃ προβεβλημέ-
νῳ αὐτὴ ἀσπίδι ὡς ἀνδρὸς καὶ γυναικανίς. ΑΝΔΡΟ
ΚΜΗΤΩΙ. ἐφ' ᾧ αὐτὴν κεκμηκὼς ἵκετο ὅ ἐστι ἱκέτης. ἢ ὑπὸ
αὐτοῦ κατεβεβασμένῳ. ἢ ἐπὶ αὐτῇ κεκμηκότι κατεβε
βασμένῳ. ΑΙΝΥΤΟ. ἀφῃρέατο. ἐλάμβανε. ΒΡΙΑ

Α ΡΗΝ. ἰσχυρὰν. ΤΟΞΟΥ ΠΗΧΥΝ. τὸ τόξον περιφραστικῶς. τὸ γὰρ ὅλον τόξον ἐκ δύο κεράτων σύγκειται. ὧν ἑκάτερον πῆχυς καλεῖται. μετενεχθείσης οὖν φησι τὸ τόξον.
ΤΑΡΣΟΝ. τὸ πλατὺ τῶν ποδῶν. ΠΕΦΡΙΚΑΣΙ. φοβοῦνται.
121 ΜΗΚΑΔΕΣ. μηκητικαί. ΤΟΞΟΤΑ ΛΩΒΗΤΗΡ. διὰ τόξων λοβώμενοι ἠβλαπτον. ἐξ οὗ δηλ. ΚΕΡΑ ΑΓΛΑ
Β Ε. παλλακὰς ἐθωμεν τὴν τοξικὴν καὶ τὴν ῥιχώσ. κέρας γὰρ οἱ παλαιοὶ καὶ τὴν ῥίχωσιν ἐκάλουν. ΠΑΡΘΕΝΟΠΙΠΑ. παρθένους ἐπιπηρῶν. γυναμανίς. ἡ γυναικιζομένη. ἐπὶ γυναιξὶ μανείσης. ΠΕΙΡΗΘΕΙΗΣ. τῶραν λάβῃς. ΧΡΑΙΜΗΣΙ. βοηθήσῃ. ΤΑΡΦΕΕΣ. πολλοί. πυκνοί. ΕΠΙΓΡΑΥΑΣ ἐπιξέσας ἁπλῶς. ΟΥΚ ΑΛΕΓΩ. ὀφροντίζω. ΚΩΦΟΝ
Γ ἀμβλὺ ὡς ἀλγηδόνα. ΑΝΑΛΚΙΔΟΣ. αὐαῦρα. ἀσθενῆς ΗΤΑΛΛΩΣ ΥΠΕΜΕΙΟ. αὐτὶ τοῦ ἄλλως τὰ ἰδιώτικα. ΕΠΑΥΡΗ. ἐπιψαύσῃ. ῥώσῃ. ἐφάψηται. ΑΚΗΡΙΟΝ. ἄψυχον. νεκρόν. ΑΜΦΥΔΡΙΦΟΙ. ἀμφοτέρωθεν ἐσπαραγμένοι διὰ τὸ πονθῆναι. ΕΡΕΥΘΩΝ. ἐρυθραίνων. φοινίσσων. ΠΥΘΕΤΑΙ. σήπεται. ΠΕΡΙΠΛΑ
Δ ΕΣ. περὶ αὐτὸν πλέουσι. ἄμεινον καθ' αὑτὸν πλεῖν περὶ. τὸ γὰρ πλεῖν, συγκοπὴ ἔστι τοῦ πλέουσι. σύθεσαν γὰρ ἀναπλάττειν μὴ ἐρημένην, σύνδεσιν. ΚΑΘΕΖΟΜΕΝΟΣ. αὐτὶ τοῦ κύψας. ΑΝΟΡΟΥΣΕΝ. ἀνεπήδησεν. αὐίσσει. ΕΠΕΤΕΛΛΕΝ. ἐπέτατλεν. ΟΙΩΘΗ. ἐμονώθη. ΟΧΘΗΣΑΣ. λυπηθείς. ΑΙΚΕ ΦΕΒΩΜΑΙ. ἐὰν φύγω. ΑΛΩ
Ε Ω. ληφθῶ. συσχεθῶ. ΔΙΕΛΕΞΑΤΟ. διελογίσατο. ὠνθυμήθη. ΜΕΤΑ ΣΦΙΣΙ ΠΗΜΑ ΤΙΘΕΝΤΕΣ. ἐπὶ τῷ ἰδίῳ κακῷ τοῦτο πράξαντες. ΞΥΛΟΧΟΙΟ. ὕλης ξυλώδους. ΘΗΓΩΝ. ἀκονῶν. ΓΝΑΜΠΤΗΣΙΝ. ἐπικαμπίσι. ΓΕΝΥΣΙ. σιαγόσιν. ΑΜΦΙ ΔΕ ΤΑΙΣΣΟΝΤΑΙ, ἐπ' αὐτ' ὁρμῶσιν. ΥΠΑΙ ΔΕ, ὑπὸ δέ. ΚΟΜΠΟΣ. ψόφος.

φῷ. ΕΣΣΕΥΟΝΤΟ. ὥρμησαν. ΠΡΟΤΜΗΣΙΝ. ἀ Α
κατὰ τὼ λαγόνα τόπον. κατὰ τὸν ὀμφαλὸν διὰ τὸ πρῶ
τον αὐτὸν τιμηθῆναι, τὸν τιχθόντα παῖδα. ΕΛΕΝ ἴπλη-
ξεν. ἴλαβεν. ΑΓΟΣΤΩι. τῷ ἀγκῶνι. ΑΥΤΟΚΑΣΙΓ-
ΝΗΤΟΝ ΕΥΗΓΕΝΕΟΣ ΣΩΚΟΙΟ. ἐκ φρῶν μι-
ρῶν λόγω ὅλῳ ὁ σίχῳ. ΕΥΗΓΕΝΕΟΣ. εὐγενῆς. ΠΟΛΥ
ΛΙΝΕ. νῦν μυθολόγι. φλύαρι. ΠΑΝΤΑ ΔΑΠΟΠΛΕΥ Β
ΡΩΝ ΧΡΟΑ ΕΡΓΑΘΕΝ. ὅλην τὼ ἱπιφάνειαν αὐ
τῷ τ' πλουρῶν ἔρξεν ἡ ἰχώρισι τ' μιλῶν. ἢ ὅτι ἐπ ἱπόιη-
σεν ἐς βάθῳ καιρίαν αὐτ' πλαγὴναι. ΕΓΚΑΣΙ τοῖς αὐ-
τίοις. Α ΔΕΙΛΕ. ὦ δ' λί. ἡ ἄθλι. ΚΑΥΤΟΠΩΛΩι. τῷ 122
ἰσχυροὺς ἡ ὀνομασοὺς ἵππους ἴχοντι. ὅτι ὐδὲς τὸν θάνατον
διαφυγῆν δύνατ). ΔΟΥΠΗΣΕΝ. ἀπίθανι. ΦΘΗ. πρὸ Γ
λαβεῖν. ἴφθασι. ΚΙΧΗΜΕΝΟΝ. καταλαμβανόμινον
ΟΣΣΕ ΚΑΘΑΙΡΗΣΟΥΣΙ. τοὺς ὀφθαλμοὺς κατακα
λύψασι. ΩΜΗΣΤΑΙ. ὠμὰ κρία ἰωθίοντ'. ΚΤΕΡΕΟΥ-
ΣΙ. βάψασι. ΣΩΚΟΙΟ. τὸ ὑπὸ σώκα ἀκοντισθὲν ὀδόντ.
κατὰ γὰρ τῆ τῶ ὀδυσσίως πλουρᾶ. ΑΝΕΣΣΥΤΟ.
αὐκόντισι. ΚΗΔΕ. ἰλύπησι. ΑΥΕΝ. ἰβόα. ΧΑ Δ
ΔΕΝ. ἰχώρισι. ΒΙΩΑΤΟ. διάζοιντο. ΑΠΟΤΜΗ
ΞΑΝΤΕΣ. χωρίσαντ' τ' οἰκείᾳ φρατοῦ ΔΑΦΟΙΝΟΙ
φόνιοι ἡ πυῤῥοί. ΘΩΕΣ. ταυθέρια. ταφίσου δὶ ἡκεὶ ὁ
μοισπατάλητον ἔπιθῶδ' τῷ φρῶδ'. ΗΛΥΞΕΝ.
ἀβίφυγι τὸν βαλόντα κυνηγίτην. ΛΙΑΡΟΝ. χλιαρόν·
θρμόν· ΟΡΩΡΗ. ἰσχύι. κινῆτ). ΔΑΡΔΑΠΤΟΥ Ε
ΣΙ. κατιαθίσοι. ΝΕΜΕΙ. νέμει. συνδούλωτό
πω. ΣΚΙΕΡΩι. τῷ σκιαζομένῳ ὑπὸ πλήθους
τῶν δούλων. ΛΙΝ. τὸ πλῆρδ' λίνα. ὅ ἐστι λίοντα
ἀωρικῶς. ΣΙΝΤΗΝ. βλαπ/τικόν. ΔΙΕΤΡΕΣΑΝ·
σὺν δίει ἴφυγον. ΔΑΠΤΕΙ. κατανάλισκει ἰωθίων.

Α ΕΠΟΝ. πτερωτόν. ΝΗΛΕΕΣ ΗΜΑΡ. τῷ αὐτῷ ἡμέραν. τουτέστι τὸν θάνατον. ΣΤΗ ΔΕ ΠΑΡΕΞ ἔστη δὲ παρ' αὐτόν. ΑΛΛΥΔΙΣ ΑΛΛΟΣ. ἄλλος ἀλλαχοῦ. ΕΙΩΣ. ἴως. ΠΡΙΑΜΙΔΗΝ ΝΟΘΟΝΥΙΟΝ. πτερωτὸν τὸ ὑμν, κλητικῶς μὲν γὰρ προστίθεται τὸ φ πὸ τὴν κῆσιν πτῆσιν δυνάμενον. παρανομικῶς δ' ἐμπε

Β σίχεται. ΠΛΗΘΩΝ. πεπληρωμένος. ΟΠΑΖΟΜΕΝΟΣ. κατατεγόμενος. ἀφ' οὗ πληρούμενος. ΑΖΑΛΕΑΣ. ξηράς. ΕΞΦΕΡΕΤΑΙ. εἰς αὐτὸν φέρει.

123 ΔΦΥΣΓΕΤΟΝ. ἐλυῶδες. συρφετόν. ΔΥΣΗΧΕΟΣ. κακῶς ἔχον ἀποτελοῦντος. ΟΥΔΑΝ. οὐκ ἂν δύ. ΠΕΥΘΕΤΟ. ἐπέπυστο. εἰδεῖ. ἴσασι. ΝΕΩΝ ΑΛΑ

Γ ΠΑΖΕ. τὰς τῶν ναυτῶν ἐπόρθει τάξεις. ΜΕΤΑ ΚΛΙΝΘΕΝΤΟΣ. κλίσιν κακὴ τροπὴν λαβόντος. τουτέστιν ἐπικρατεστέρων τῶν ἀντίων γενομένων. ΑΓΡΕΙ ἄγει δύ. ΕΧΕ. ἴλαυνε. ΤΗ ΓΑΡ. ἐκεῖσε γάρ. ΕΠΙ ΜΙΞ. ἀναμιγνύμενοι. ΠΟΛΛΩΝ ΑΝΤΑΞΙΟΣ ΑΛΛΩΝ. ἀντὶ πολλῶν ἄλλων τὸ σώζεσθαι ἄξιος.

Δ ΙΘΥΝΟΜΕΝ. ἐπ' εὐθείας ἐλαύνωμεν. ΚΑΚΗΝ ΕΡΙΔΑ ΠΡΟΒΑΛΟΝΤΕΣ. φιλονείκως ἐρίσαντες. ΛΙΓΥΡΗι. λιγεῖς καὶ ὀξεῖς τοὺς ἵππους ποιούσης κατὰ τὸ ῥόμον. ἤτοι ὀξὺν ἦχον ἀποτελούσης. ΑΙΟΝΤΕΣ. φερόμενοι. ἀκούσαντες. ΣΤΙΒΟΝΤΕΣ. κατοῦντες βαροῦντες. ἕβιν καὶ πεπιληκυῖαι ἦσαν, στίβος λίγεται.

Ε ΑΣ ΑΡΑΦΙΠΠΕΙΩΝ ΟΠΛΕΩΝ ΡΑΘΑΜΙΓΓΕΣ ΕΒΑΛΛΟΝ. ἃς ἀπὸ ἀποπίπτουσα τῶν ἱππείων ἐνύχων ῥανίδες, ἔβαλλον, ὅπλα γὰρ ἦν ἵππου ὄνυξ. ΡΑΘΑΜΙΓΓΕΣ. ῥανίδες. ΑΝΔΡΟΜΕΟΝ. τὸ τῶν ἀνδρῶν. ΜΗΝΥΝΘΑΔΕΧΑΖΕΤΟ ΔΟΥΡΟΣ. ἐλίγου ὑπεχώρει. ἵνα εὐκόλως τῷ δόρατι χρῶτο. ΑΛΕ

ΕΙΝΕΝ.

ΕΝΕΝ. ἴκκλιν. ΤΡΕΣΣΕ. διὰ δίος ἐπιχώρησι. Α
ΠΑΠΤΗΝΑΣ. περιβλιφάμενος. ΕΝΤΡΟΠΑΛΙ
ΖΟΜΕΝΟΣ. παραλλάσσων. ἐπιστριφόμενος. ΕΣΣΕΥ
ΟΝΤΟ. ἰδίωσαν. ΟΛΙΓΟΝ. κατ' ὀλίγον. κατὰ μι
κρόν. ΑΜΕΙΒΩΝ. ἀλλάσσων. ΩΣ ΔΑΙΘΩΝΑ
ΛΕΟΝΤΑ ΒΟΩΝ ΑΠΟ ΜΕΣΣΑΥΛΟΙΟ. διὰ
τὶ ὁτὲ μὲν λίοντι παραβάλλει τὸν ἄνδρα. ὁτὲ δὲ ὄνῳ. ὅτι Β
ἀμφὶ παραβολαὶ. ῥιῶν ἴσπαι γίγνονται. αὐξήσεως. σὺν
γείας. σαφηνείας, ἐς τὸ πρόσφορον δὲ ἓν ὑπάτερον ἐτέρη
σιν ὁ ποιητὴς ἐπῶν τὸν ἄνδρα καὶ φονίοντα λίοντος δέ
παν καὶ τῶν προπεμένων ἀναχωρεῖν ὡς ὄνον. ταῖς γὰρ φύσεσι
τῶν ζώων, καὶ τὸ ὀνηκὸν πρὸς φυγήν. καὶ τὸ ταχὺ πρὸς
μάχην ἥρωος διελέλεκται. ΑΠΟ ΜΕΣΣΑΥΛΟΙΟ. Γ
ἀπὸ δὲ ἰπαύλιος. ΒΟΩΝ ΕΚ ΠΙΑΡ ΕΛΕΣΘΑΙ.
ἐξαρπάσαι τὴν λιπαρωτάτην καὶ καλλίστην τῶν βοῶν.
ΕΓΡΗΣΣΟΝΤΕΣ. ἐγρηγορότες. ΕΡΑΤΙΖΩΝ.
ἐρῶν. ἐπιθυμῶν. ΙΘΥΕΙ. ἐπ' εὐθείας ὁρμᾷ. ΠΡΗΣΣΕΙ.
αὐΐει. πράσσει. ΑΚΟΝΤΕΣ. ἀκόντια. δόρατα. ΑΝ
ΤΙΟΝ. κατὰ πρόσωπον. ΔΙΣΣΟΥΣΙΝ. ὁρμῶσι. φέ Δ
ροντα. ΘΡΑΣΕΙΑΩΝ: ἰσχυρῶν. τολμηρῶν. ΔΑΙ
ΤΕ. λαμπάδδε. λάδδε. παρὰ τὸ λάδεσθαι ὅ ἐστι καύ
σθαι. ΤΡΕΙ. φοβεῖται. δείμει. ΕΣΣΥΜΕΝΟΣ ΠΕΡ
παίτοι προθυμούμενος. ΗΩΘΕΝ. ἔωθεν. ὄρθρου. ΑΠΟ
ΝΟΣΦΙΝ ΕΒΗ. ἐχωρίσθη. ΤΕΤΙΗΟΤΙ. λιλυπη
μένῳ. ΠΟΛΛΑ ΕΚΩΝ. πάνυ ἄκων. ΠΑΡΑΡΟΥ Ε
ΡΑΝ ΙΩΝ. τὸ ἐξῆς παρεὶὼν ἀρέσιμον χώραν. ΕΒΗ
ΣΑΤΟ. τῇ βίᾳ οἰκήσει. ΠΑΙΔΑΣ. τὰ μικρὰ παι
δία νῦν. ΝΩΘΗΣ. βραδύς. ἀργός. ΡΟΠΑΛΑ.
ξύλα. ἀπὸ τοῦ ῥαπίζειν. ἢ τῇ ῥοπῇ ὅ ἐστι τῇ φορᾷ ἀλοσὺν ἡ
συνδέσεως. σφῆν δὲ πλαγῶν βέλος αὐτὸν παρασῆσαι φέρον

Α τα. ἵνα λείξῃ αὐτὰ τὸ γενναῖον. ΑΜΦΙΣ ΣΑΓΗ. πε-
ριπλάδη. ΚΕΙΡΕΙ. κόπτει τοῖς ὀλόῃσιν. ἰαθίοις, μιτα-
φορικῶς. ΣΠΟΥΔΗ. μόλις. δυσχερῶς. ΕΠΕΙ ΤΕ.
124 ἐπειδὴ ἂν. ἐπ' ἂν. ἀφ' οὗ. ΦΟΡΒΗΣ. φορᾶς. ΤΡΟ
ΠΑΣΚΕΤΟ. ἐρρίπτετο. ΠΑΝΤΑΣ ΔΕ ΠΡΟΕ-
ΕΡΓΕ. πάντας φησὶ τοὺς ἵππους ἐπὶ τὰς ναῦς ὁρμῶντας
Β αἷας αὐτὶ τασάμενος ἐκώλυεν. ΟΡΜΕΝΑ ΠΡΟΣ-
ΣΩ. ὁρμῶντα ἐπὶ τὸ ἔμπροσθεν. ΕΠΑΥΡΕΙΝ. ἁφᾶσ-
θαι. ἐπιβαίνειν. ΑΣΑΙ. κορυσθῆναι. πληρωθῆναι. ΒΙΑ
ΖΟΜΕΝΟΝ. καταπονούμενον. ΗΠΑΡ ΥΠΟ ΠΡΑ
ΠΙΔΩΝ. τὸ ἧπαρ ἕρωσι κάτω ὑπὸ τὰς φρένας. φρένας
δὲ ὁ ποιητὴς καὶ πάντοτε οἱ παλαιοὶ, ἐκάλεσαν τὸ διά-
Γ φραγμα παρ' ὅσον φλεγμαῖνον ποτοὺς νοσοῦντας, ἔχει συμ-
πάσχοντα τὸν ἐγκέφαλον, καὶ παρακολουθοῦσι μίγισται πα-
ραφρονήσεις. πυρὰ γὰρ ὄντες τῶν νοσούντων γίνεσθε ὁ ἐγκέφαλος.
ὥστε ἀρτηριῶν παρδίαν καὶ φλεβῶν ἧπαρ. ΑΙΝΥΤΟ. ἀφαι-
ρεῖτο. ΑΠΑΙΝΥΜΕΝΟΝ. ἀφαιρούμενον. ΔΟΝΑΞ.
ὁ κλάδος. ΔΥΣΗΧΕΟΣ. κακοήχου. λυπηροῦ. ΣΑΚΕ-
Δ ΩΜΟΙΣΙ ΚΑΙΝΑΝΤΕΣ. ἐρείσαντες τὰς ἄμους ταῖς
ἀσπίσιν. ΩΣ ΟΙ ΜΕΝ ΜΑΡΝΑΝΤΟ ΔΕΜΑΣ
ΠΥΡΟΣ. ὅτως οὖν οὗτοι ἐμάχοντο θερμῶς δίκην πυρός.
ΙΔΡΩΣΑΙ. ἱδρῶτι καταῤῥῶσαι. ΕΠΙ ΠΡΥΜΝΗΙ.
παρὰ τὴν πρύμνην. ΙΩΚΑ ΤΕ. καὶ τὸν δίωξιν ὁ ἐστι τὴν φυ-
γὴν, τὴν πολλῶν δακρύων αἰτίαν καὶ λυπηρᾶν. ΕΚΜΟ-
Ε ΛΕΝ. ἠμόλυσεν. ἐβάλθην ΟΥΚΕΤΑΝΕΚΤΟΣ. οἷον ἀ-
παρτίρητος. καὶ δεινός. ΕΡΕΙΟ. ἐρώτησον: ΤΑ ΓΟΠΙΣΘΕ
τὰ ὀπίσω τοῦ σώματος. τὴν ἀποσροφήν. ΠΑΡΗΙΞΑΝ.
παρίδραμον. ΠΟΤΙ ΠΝΟΙΗΝ. πρὸς τὴν πνοήν. πρὸς
τὴν αὔραν. ΑΠΕΥΥΧΟΝΤΟ. πρὸς αὖθις ἐπιστρα-
φόντες τὸν ἱδρῶτα ἐξηράνοντο. ΤΕΥΧΕ. κατεσκεύαζε.

ΚΥΚΕΩ.

ΚΥΚΕΙΩ. κυκεῶνα. ἔστι δὲ ἄλφιτα ἁλισμένα ὁ κυκεὼν ἐκ διαφόρων ἐδῶν σκευαζόμενον. ΕΞΕΛΟΝ. ἐξαίρετον ἔδωκαν. ΕΠΙΠΡΟΙΗΛΕΝ. ἐπ' αὐτῷ παρέθηκε. ΚΥΑΝΟΠΕΖΑΝ. κυανῷ τὰς πόδας πεχρισμένην. μιλανόπεζ. ΚΡΟΜΥΟΝ ΠΟΤΩΙ ΟΥΟΝ. ποτικὸν ὄψον. ὃ ἔστι πρόσφορον ὄψον. διψας παρασκευαστικόν. παῦ δὲ τὸ μετὰ ἄρξῃ ἐκδὲ ὀμφνον, ὄψον καλεῖται. ἔστι δὲ τὸ κρόμυον μὴ πρὸς τὰ μὴ καλὰ ἁρμόζον ὕδατα, ὡς ἀλεξιφάρμακον. ΜΕΛΙΧΑΡΟΝ. πρόσφατον. νέον. οὕτω γὰρ καὶ ἡμεῖς χλωρὸν τυρὸν λέγομεν τὸν νέον. διατὶ δὲ τὸν πάτροκλον ὁ ἀχιλλεὺς ψέπει. ῥητέον ὅτι κατ' οἰκονομίαν. ἐπειδὴ γὰρ ἄπρακτοι καὶ πρόθυμοι γεγένηνται, διὰ πατρόκλου βούλεται νέφορα τοῦτο κατορθῶσαι, ὅπερ ἐκ ἐποίησαν οἱ πρίσβεις. ὥστε πρὸς κονόμησι τοῦτο ὁ ποιητὴς οὕτως. ἵνα καὶ νέφορον τῶν λόγων δύναμιν παφαστήσῃ καὶ ἀχιλλέα μόξῃ μετ' οὐλόης προφάσεως ἐς τὸν πόλεμον βάγειν. ΑΛΦΙΤΟΥ ΙΕΡΟΥ ΑΚΤΗΝ. ἤτοι ἄλφιτα πεφραστικῶς ἀπὸ τῆ κατασκευάσματος ὄζειν ἄλφιτον. ἁπλοῖ δὲ ἡλίκης ὅτι μὴ τὸ ἄλφιτον ἀπὸ τῶ κατάγνυσθαι καὶ ἁλεῖσθαι τὸν σῖτον. ὅτι δὲ ἀγιαλόν. ἀπὸ τοῦ πεφικατάγνυσθαι. ἢ κατάγνυσθαι τὰ κύματα. ΑΜΦΙΣ ΕΚΑΣΤΟΝ. πεφὶ ἕκαστον. ΝΕΜΕΘΟΝΤΟ. κεκμηκυίας τουτέστι βίας ἐκπεισαν αἱ πίλεαι. ΔΥΩ ΔΥΠΟ ΠΥΘΜΕΝΕΣ ΗΣΑΝ. ἤτοι ὅτι λιπλοῦς ἦν αὐτῷ ὁ πυθμήν. ἢ ὅτι ἦν ἀμφίθετον, ὅπερ καὶ κύμβαλόν φασι τινὲς καὶ ἀμφικύπελλον. ΑΛΛΟΣ ΜΕΝ ΜΟΓΕΩΝ. προσλαμπρότερον τὸ πρόβυτης. ἢ ὃ οὐ ῥᾳδίως ἂ δὲ οὐχιρῶς αὐτὸ κινεῖ δὲ φαπίβης τὶς τῶν λοιπῶν γερόντων. ἀλλὰ μογίων ὅ ἔστιν ὀκνῶν. ἢ ἄλλως μὴ κάμνων. ἵνα δικαιοῖ τὸν μαχάονα διότι ἰτίρατο. ΚΥΚΗΣΕ.

Α τὸν κυκεῶνα ἐποίησεν, ἰταφάξει. ΠΡΑΜΝΕΙΩι. ἤτοι τῷ πραϋντικῷ τοντ' ἔστι τῷ πραΰνοντι τὰς φρένας, ἢ παλαιῷ ἀπὸ τοῦ παραμυθεῖσθαι, ἢ ἀπὸ εἴδους ἀμπέλου ἤτοι καλουμένης ἢ ἀπὸ τῶν αὐαδυνδράδων ἔπος, πρίμνον γὰρ τὸν ὑφιστὴν καλοῦσιν. ἄλλοι δὲ ἀπὸ πράμνης ἔπος, πράμνη ὄρος οὐ τῆ ἰκαρίᾳ οἰνοφόρον. ΚΝΗΣΤΙ. μαχαιρίῳ τυρστόμῳ. ΠΑΛΥΝΕ. κατέπασεν ὡδὶ τῷ κυκεῶνι, ἢ γὰρ μετὰ οἴνου καὶ μετὰ βοὰς αὐτὰ ἐσθίουσιν. ΩΠΛΗΣΕΝ. ἑτοίμασι. ΠΟΛΥΚΑΓΚΕΑ. ξηραντικῶν. ΕΝΝΕΠΟΝΤΕΣ. ἐπαγγέλλοντοδ', λέγοντοδ'. ΕΙΣ ΔΑΓΕ. εἰσάγαγε δί. ΚΑΤΑ ΔΕΔΡΙΑΣΘΑΙ. καθίζεσθαι. ΑΝΑΙΝΕΤΟ. ἀπηρνεῖτο, ἔρηται παρὰ τὸ ἀναινύειν. ΟΥΧΕΔΟΣ. ἐκ

Γ ἔστι καιρός μοι νῦν τοῦ καθίζεσθαι, ἴδ& γὰρ ἡ καθέδρα νῦν. ΝΕΜΕΣΗΤΟΣ. φιλομιμφής, ἢ μεμψίμοιρος. ΟΜΕ. ὅστις μι. ΠΑΛΙΝ ΑΓΓΕΛΟΣ. εἰς τὸπίσω ἄγγελος. ΑΝΑΙΤΙΟΝ ΑΙΤΙΩΤΟ. καὶ τὸν μὴ αἴτιον ὡς αἴτιον μέμψοιτο αὖ. ΟΛΟΦΥΡΕΤΑΙ. οἰκτίρει, ἐλεεῖ. ΚΕΑΤΑΙ. κεῖνται. ΑΕΚΗΤΙ. ἀκόντων, μὴ βαλομένων. ΕΠΙ

Δ ΣΧΕΡΩι. ἐφιξῆς. ΙΣ. ὁλώμεις. ΓΝΑΜΠΤΟΙΣΙ. τοῖς καμπτομένοις. ΝΕΙΚΟΣ. φιλονεικία. ΕΤΥΧΘΗ. κατεσπουάδη, ἐγένετο. ΑΜΦΙΒΟΛΑΣΙΗΣ. περὶ βοῶν ἀπελασίας. ΟΤΕΓΩ ΚΤΑΝΟΝ ΙΤΥΜΟΝΗΑ. ὑπλεὺς ὁ ποσειδῶν& ἱππικώτατ& τῶν παρ' αὐτὸν γονόμεν&, ἔπεμψεν εἰς ἴλιον ἵππους ὅτ' τὸν υἱὸν αὐγέα σωτιλέ-

Ε μενον ἀγῶνα, νικῶσαν τῶν ἄλλων, φθονήσας αὐγίας ἀπέσπασε τέτας, καὶ τοὺς ἵππους ἀφῆκεν ἀπράκτους, ὑπλεὺς δ' γνὸς ἰσχίαν ἦγε, νέφων δὲ ὁ τῶν παίδων αὐτῶ νεώτατος, φρατὸν ἀθροίσας ἐπῆλθεν ἴλιδι, καὶ πολλὸς ἀπεκλέναις, ἀπέλαβε τοὺς ἵππους, καὶ οὐκ ὀλίγην τῶν πολεμίων ἀπέσυραν λείαν, ἢ ἱστορία παρὰ φερεκύδῃ. ΥΠΕΡΟΧΙΔΗΝ.

ὑπαρέχει

ἀπειρόχθωνα. ΡΥΣΙΕΛΑΥΝΟΜΕΝΟΣ. αὐτὶ τοῦ ῥυ- Α
σιάζων, ὅ ὅταν οὐχ ὑρα λαμβάνων, ὑσιον δὲ τὸ οὐχ ὑρόν
φησι. ΠΕΡΙ ΤΡΕΣΑΝ. ὀι περὶ αὐτὸν διὰ δίος ἔφυγον.
ΑΓΡΟΙΩΤΑΙ. ἀγρῶται, ἀγρῶται. ΗΛΙΘΑ ΠΟΛ-
ΛΗΝ. πάνυ πολλήν. ΠΩΕΑ. ποίμνια, συβόσια, τὰ
χειροφορεῖα. ΝΗΛΗΙΟΝ. πῶν τῶν νηλίων. ΕΝΝΥΧΙΟΙ.
διὰ δὲ νυκτός. ΛΙΓΑΙΝΟΝ. ἐβοων, ὀξέως ἐκύρησαν. Β 126
ΤΟΥΣ ΙΜΕΝ. τούτους σωίρχιδα. ΧΡΕΙΟΣ. χρέος, δά-
νειον. ΩΦΕΙΛΕΤΟ. ἐχρωστεῖτο. ΔΙΗΙ. θαυμαστῇ, ἱρᾷ, οὐ
αὐτῇ γὰρ ἐτιμᾶτο ὀλύμπιος, οὗ καὶ πανήγυρις κατὰ
πέντε τὴν χρόνον ἤγετο τὰ ὀλύμπια, ὅθεν ἠγωνίζοντο οἱ ἀπὸ
δὲ ἑλλάδος πάντες, ἴσως δὲ καὶ πόλις πιλοποννήσου. ΔΑΙ
ΤΡΕΥΟΝ. ἐμέρισον. ΕΠΕΙΟΙ. οἱ ἠλεῖοι, ἀπὸ ἐπειοῦ βασι- Γ
λέως, οὗτος ποσειδῶνος καὶ σὺ ρυπύλης δὲ οὐ δυμαίνους παῖς,
οὗ ἠλεῖος ὁ κτίσας ἠλιδα, ἠλεία δὲ ἄλλως καὶ ἐπειός, ἀφ' οὗ
ἐπειοί, ὡς φησιν ἀριστοτέλης ἐν τῷ πίπλῳ. ΚΕΚΑΚΩ-
ΜΕΝΟΙ. κακῶς διατεθειμένοι, βεβλαμμένοι. ΕΛΘΩΝ
ΓΑΡ ΕΚΑΚΩΣΕ ΒΙΗ ΗΡΑΚΛΕΙΗ. ἡρακλῆς
παρεγένετο εἰς πύλον χρήζων καθαρσίων, οἱ δὲ πύλιοι ἀπο Δ
κλείσαντες τὰς πύλας, οὐκ εἰσεδέξαντο αὐτὸν, ὑφ' ᾧ ὀργι-
σθεὶς ὁ ἥρως, ἐπόρθησε πύλον, σωσιμάχην δὲ τὸν νηλῆ φεύ-
γοι ποσειδῶν, ἥρα, ἀϊδωνεύς, ὡς μὲν οὖν τῇ, τ. φησί. ΤΩΝ
ΠΡΟΤΕΡΩΝ ΕΤΕΩΝ. οὐ τῷ φθάσαντι χρόνῳ. ΔΩ
ΔΕΚΑ ΓΑΡ ΝΗΛΗΟΣ ΑΜΥΜΟΝΟΣΥΙΕΣ
ΗΜΕΝ ΤΩΝ ΟΙΟΣ ΛΙΠΟΜΗΝ. τὸν νέστορά φησι Ε
μόνον περιλειφθῆναι, τῶν τοῦ νηλέως παίδων, ἅτοι ὅτι νέος
ὑπάρχων ἔξω ἐφέρετο παρὰ τοῖς γέρουσι; ἢ ἐπεὶ σωιβήλου
συν εἰσαχθῆναι τὸν ἡρακλέα, ὡς τινές φασιν. ΥΠΕΡΗ-
ΦΑΝΕΟΝΤΕΣ. ὑπερηφανεύοντες, καταφρονοῦντες. Α-
ΤΑΣΘΑΛΑ. ὑβριστικά, ἄδικα. ΚΡΙΝΑΜΕΝΟΣ.

Α διαχωρίσας, ἄρδην. ΚΑΙ ΓΑΡ ΤΩι ΧΡΗΙΟΣ ΜΕ
ΓΟΦΕΙΛΕΤΟ. ἡρακλῆς προσάξαντ@ ὑργαδίως,
αὐτομάθηρ τῶν αὐγέα κόπρον, ἀπαιτοῦντι δὲ αὐτῷ τὸν μι-
σθὸν, οὐκ ἀποδίδου, λέγων βεπιταγῆς αὐτὸν ποιοικίσ-
ναι. φυλεὺς δέ ὁ τότε ὢν ἐριτῆς γονόμεν@, ἰατέκμηρ τ-
ματέρα, ὁ δὲ ἀγανακτήσας, βέβαλον αὐτὸν ἀπὸ χώρας, ἡ-
Β ρακλῆς δὲ ἐπισρατευσάμεν@, ἅλιν ἐπόρθησε, καὶ μετα-
πεμψάμεν@ τὸν φυλέα ἐκ Δαλιχίου, παραδίδωσιν αὐτῷ
τὴν βασιλείαν, ὀλιγανδρείας δὲ ὔσης διὰ τὸ πολλὸς οὐ τῷ
πολέμῳ συναφθάρθαι, ἡρακλῆς συγκατέκλινε τὰς γυ-
ναῖκας τῷ στρατῷ, ὅτως τὸ πολλῶν γενε-
βούτων, ὕθεν δὴ τὸν ὀλυμπιακὸν ἀγῶνα, καὶ αὐτὸς πρῶ-
Γ τος τῶν ἀγώνων ἤγαγε, καὶ ἱσορία παρὰ καλλιμάχῳ. ΤΕΣ
ΣΑΡΕΣ ΙΠΠΟΙ. αἱ δύο ξυνωρίδες, ὅπερ καὶ τέθρο-
ρον λέγεται, καὶ αὐτὸς δὲ οὐ δυνασείας, ἡ δ' ὥστ' οὐ πάνυ
τεθάρρει ἄρσενες ἵπποι. ΘΕΥΣΕΣΘΑΙ. δραμεῖσθαι.
ΚΑΣΧΕΘΕ. κατίσχον. ΕΛΑΤΗΡΑ. τὸν ἡνίοχον.
ΑΚΑΧΗΜΕΝΟΝ ΙΠΠΩΝ. λείπει ἡ ὑπὲρ πρόθε-
Δ σις, αὐτὶ τοῦ ὑπὲρ τῶν ἵππων. ΤΩΝ ΕΠΕΩΝ ΚΕ-
ΧΟΛΩΜΕΝΟΣ. ὡς καὶ βλάσφημά τινα ἐρηκότ@
αὐτὸν ὀδυρόμενον. ΑΣΠΕΤΑ. πολλά. ΜΗ ΤΙΣ
ΟΙ ΑΤΕΜΒΟΜΕΝΟΣ ΚΙΟΙ ΙΣΗΣ. ὅπως μηδεὶς
ἀπίθοι στρεβεὶς δὲ ὁμοίας καὶ ἴσης τιμῆς, ἴσης γὰρ, δὲ τὸ
δίκαιον καὶ ἴσον ἐχούσης. ΤΑ ΕΚΑΣΤΑ ΔΙΕΠΟ-
Ε ΜΕΝ. περὶ ταῦτα ἄπομεν σπουδαίως. ΜΕΤΑ ΔΕ
ΣΦΙ ΜΟΛΙΟΝΕ. πλίατος ἡ ὤρυτος παῖδε μὲν ὔσαν
ποσειδῶνος καὶ μολίονης ἧ μόλη, ἐπίκλησιν ἦ ἄκλορος, ὅτος
παρ' ἑλλαγμένλω φύσιν τ' λοιπῶν ἴσχον ἀνδρώπων, δίφυῖς
γὰρ ὔσαν, ἴχοντες ἑκάτερος δύο κεφαλὰς. τέσσαρας ἦ χεῖρας,
πόδας τὰς ἴσας, ἓν ἦ σῶμα, διὰ τοῦτο τὸς πολεμικὸς ἡ γυμ-
νικὸς

γυναῖς οἰκτρῶν ἀγώνας. ἱμαντὰς ἢ πολεμῶν ἡμῖν δαμάσσας Α
κατὰ τὴν φανὴν αὐτῶν περιγενέσθαι συμμαχόντος αἰγίδι,
λοχήσας ἀνέλειν αὐτούς, ἢ ὅτως ὑπόρθμοις τὴν ἅλιν, ἢ ἰσοφόρια
παρὰ φερεκύδη. ΘΡΥΟΕΣΣΑ. πόλις δεξιμαχεῖν ἅλιδος
καὶ πύλας, ταύτην οὖν τῷ διαλόγῳ θρύον εἶπε. ΠΟΛΙΣ
ΑΙΠΕΙΑ ΚΟΛΩΝΗ. πόλις ὑψηλή, ἄκρα. ΜΕΤΕΚΙ
ΑΣΘΟΝ. ἀπηλλάθησαν, παρηγόρησαν. ΕΝΝΥΧΟΣ. Β
οὐ νυκτί. ΑΡΗΝΗΣ. ἀρένη πόλις ἢ πύλη. ΑΛΦΕΙ
ΟΙΟ. ἀλφειὸς ποταμὸς μεταξὺ ἅλιδος καὶ πύλης. ΕΥΤΡ.
πότε. ΥΠΕΡΕΣΧΕΘΕΝ. ὑπὲρ γῆν ἦν. ΣΥΜΦΕΡΟ
ΜΕΣΘΑ. συμπλεχθῆναι, συνεβάλομεν ἐς μάχην. ΜΟΥΛΙ
ΟΝ. ὄνομα κύριον. ΕΙΧΕΝ. ἐγεγαμήκει. Η ΤΟΣΑ ΦΑΡ
ΜΑΚΑ ΗΔΗ. ἐπίστατο, μάθοιεν ἐγένετο αὐτὸ μὴ θυ- Γ
γάτηρ, ἰάσονος ἢ γυνή. αὕτη μετὰ τὴν ἀποστολὴν ἔσαν οὐ
κοίνην τεκνοφονίαν, φυγὰς ἐς Ἀθήνας ἀφίκετο, καὶ ἐγαμή
θη αἰγεῖ τῷ πανδίονος, πᾶσι δὲ ὁσία τ' ἦν ἄθεραι γονίμους τῷ
αἰγεῖ, ἔπι τ' τὸ πατρὸς γνωρισμὸν ἐκ βοιῶτιος ἀφικόμενον,
πέθη τ' αἰγέα φαρμάκῳ ἀνελὼν ἐπίβολον αὐτ' τ' βασιλέως
ἅπασα παραγενέσθαι, πιθεὶς ἢ αἰγεὺς φάρμακον ἴδωκε, Δ
μέλλοντος ἢ αὐτὸ καπανεμεῖν ἰνιάνα, ἐπιγνοὺς ἕτερ ξίφος καὶ
ὑποδήματα, ταῦτα γ' ὁ βοιῶτιος γνωρίσματα κατέλιπε, τὸ
μὲν φάρμακον ἀφείλετο, τὸν δὲ μάθειαν ἢ ἀτλικὴς ἐβάλε
λον, οἰκήσασα δὲ αὐτὴν τὴν νῆσον ἅλιδος ἐφύρας, πολυ
φάρμακον ἐποίησεν αὐτὴν ὀνομασθῆναι, ἢ ἰσοφόρια παρὰ κρά
τητι. ΤΡΕΦΕΙ. γονεῖς, φύσει. ΟΔΑΞ ΕΛΟΝ ΟΥΔΑΣ. Ε 127
τοῖς ὀδοῦσι τὸν γῆν ἴδακον ὑποκόντες. ΑΚΤΟΡΙΩΝΕ
ΜΟΛΙΟΝΕ. ἄκτορες καὶ μολίονες παῖδε, ἢ
ακτὼρ καὶ ὑρυτὼρ, διατά τινας δὲ μολίονες καὶ ποσει-
δῶνος, ἴσως δὲ μᾶλλον μολίονας αὐτὸς ἔπι, πολεμικοὺς
ἀπὸ δὲ κατὰ τὸν μάχλον μολιόσιος, ἐχθὲς οἱ νῦν τροι, ὅτι

ἀμήτης

Α ἡ μήτηρ αὐτῶν ἐκαλεῖτο μοιρίνη, ἀπὸ μικροῦ γὰρ ὄμικρον οὐδόντα σημαίνει. ΕΙ ΜΗ ΣΦΩΕ ΠΑΤΗΡ ΕΝΟΣΙΧΘΩΝ ΕΣΑΩΣΕΝ. ἐὰν μὴ ἔσωσεν αὐτὸς ὁ τῆς ἀληθείας αὐτῶν πατὴρ ποσειδῶν. ΔΙΑΣΠΙΔΕΟΣ ΠΕΔΙΟΙΟ. ἤτοι ἐπιμήκης καὶ μακρὰ, ἢ πλατεῖα καὶ εὐρεῖα φησὶ, ἀπὸ μεταφορᾶς τῆς ἀσπίδος, ἣν οἱ ὧν τῶν αὐτῶν ἡμιλύων
Β αἱ ἀσπίδες ἦσαν. ΛΕΓΟΝΤΕΣ. συλλέγοντες, συνάγοντες. ΒΟΥΠΡΑΣΙΟΥ. βαθρέσιον καὶ ἀλσῆεν τόπος τῆς Ἤλιδος, ἢ δὲ ὠλενία πόλις τῆς αὐτῆς χώρας μνήμη. ΑΠΕΤΡΑΠΕΝ. ἀπέβλεψεν. ΩΣ ΕΟΝ. τοιοῦτον ὄν. ΑΠΟΝΗΣΕΤΑΙ. ὄνησιν ἕξει, οὐ ἀπολαύσει γενήσεται. ΜΕΤΑΚΛΑΥΣΑΣΘΑΙ. ὕστερον ἀπολυμαίνων ὄχλων μεταμελήσεσθαι. ΑΥΛΗΣ ΕΝ ΧΟΡ
Γ ΤΩι. οὐ τῷ περιφράγματι τῆς αὐλῆς, χόρτοι δὲ οἱ βόσκαλοι. ΑΛΕΙΣΟΝ. ἅπαμα, ποτήριον. ΑΙΘΟΜΕΝΟΙΣ. καιομένοις. ΣΦΩι. ὑμᾶς. ΕΠΕΤΟΝ. πιέζει αὐτὸν ἀσχολεῖσθαι καὶ συνεργεῖται. ΤΑΡΠΗΜΕΝ. ἐναορίαθημεν. ΥΜΜΕ. ὑμᾶς. ΓΕΝΕΗι ΥΠΕΡΤΕ-
Δ ΡΟΣ. τῷ τοῦ γόνυς ἀξιώματι πρέσατον, ἢ νεώτερον, ἴωνθν γὰρ ὑπέστερον τὸν νεώτερον. ΥΠΟΘΕΣΘΑΙ. ὑποδέξαι, συμβαλεῖσθαι. ΠΑΡΑΙΦΑΣΙΣ. συμβολαί, παραίνησις. ΕΤΑΙΡΟΥ. προσυπακουόντων ἀγαθοῦ φίλου. ΕΠΕΦΡΑΔΕΝ. ἐπι. ΠΡΟΕΤΩ. προπιψάτω. ΙΣΚΟΝΤΕΣ. ὁμοιοῦντες. ΑΚΜΗΤΕΣ. ἀκοπίαστοι.
Ε ΙΝΑ ΣΦΑΓΟΡΗ ΤΕ ΘΕΜΙΣΤΕ. ὅπως αὐτοῖς τὰ
128 τεῦχια ἐπιτράσκηται τὰ δικαστήρια ἐγίγνετο. ΤΗ ΔΗ ΚΑΙ ΣΦΙ ΘΕΩΝ ΕΤΕΤΕΥΧΑΤΟ ΒΩΜΟΙ. ὅπου καὶ τῶν πλουσιάτων ἱπάσων παρῴων θεῶν βωμοὶ κατεσκευασμένοι ἦσαν. ΑΝΤΕΒΟΛΗΣΕ. συνέτυχε. ΣΚΑΖΩΝ. χωλεύων. ΝΟΤΙΟΣ. ὑγρός, ἢ πολύς, ὡς τὸ νοσεῖν

τοσεῖν τὸ σῶμα γιγνόμενον. ΚΕΛΑΡΥΖΕ. μετὰ ἠχῆ φί Α
ετο, ὅ ἐστι ποιῶς αὐαφερόμενος ἦχει. ΑΣΗΝ. πορίσειν,
πληρώσειν. ΑΡΓΕΤΙ ΔΗΜΩι. τῷ λευκῷ λίπῃ. ΣΧΗ
ΣΩΣΙΝ. ἐπίσχωσι, πωλύσωσιν. ΦΘΙΣΟΝΤΑΙ. αὐαιρε
θήσονται. ΑΛΚΑΡ. ἀλίξημα, βοήθημα. ΟΡΝΥΤΑΙ.
διαγείρεται, αὔξεται. ΛΙΑΡΩι. σὺν ράτῳ, χλιαρῷ. ΔΙ
ΚΑΙΟΤΑΤΟΣ ΚΕΝΤΑΥΡΩΝ. τὸ ὑπερβατικὸν κεῖ Β
ται αὐτὶ τοῦ ἀπολύται, ὅ ἐστιν ὁ μόνος οὐ πονταύρεις δίκαι
ὅμοιον δὲ τούτῳ, τὸ μεμιλαύτιρος ἡύτι πίασα. ΙΗΤΡΟΙ ΜΕΝ
ΓΑΡ. αὐτὶ τοῦ ἰασῶν μὲν γάρ, ὀρθῶς αὐτὶ γενικῆς. ΧΡΗΙ
ΖΟΝΤΑ. χρίζοντα. ΠΩΣ ΤΑΡ ΕΟΙ. πῶς ἔστο γένοιτ
ἄν. ΜΕΘΗΣΩ. ἀμελήσω. ΥΠΕΧΕΥΕΝ. ὑπέβαλλεν,
ὑπέῤῥωσε. ΒΟΕΙΑΣ. δίρματα βοῶν βύρσας. ΕΚΤΑΝΥ
ΣΑΣ, ἐκτείνας ἁπλώσας. ΠΕΡΙΠΕΥΚΕΣ. περιεσῶς τὴν Γ
πάνυ πικρόν. ΕΠΙ ΔΕ ΡΙΖΑΝ ΒΑΛΕ ΠΙΚΡΗΝ.
ἐπίβαλλε, ἐπίπασον, πρὸς δὲ τοὺς ἕκτοντας, πόθεν ἔχει πλὴ
ῥίζαν ὁ πάροκλος, ἴσι λέγειν, ὅτι ἤτοι κατὰ τὸ σωζόμε
νον μεταπίμπτεται αὐτῶν. ἡ γὰρ ἀρχαία ἰατρικὴ, οἱ βοτά
ναις ἦν, ἤτοι εἰκὸς αὐτὸν ὡς ἰατρὸν ἐπιφέρεσθαι πρὸς τὰς ἐ Δ
πικαίρους χρείας, ἢ ὅτι ἐκ τοῦ πολλὰ ἀνέλκετο αὐτῶν. ἴβακτῃ
ἤγουν τὸ ὁποῖα ἦν ἕλκος ἡ ῥίζα, ἢς αὐτὸν κατέπασεν, ἢ λέγουσιν
αὐτῶν εἶναι τῶν μελαμελέων ἀφιτολοχίαν, ἣν ἢ ἰσχαιμον
μελάδει. ΔΙΑΤΡΙΨΑΣ. ῥίψας, λύσας. ΟΔΥΝΗΦΑ
ΤΟΝ. ὀδυνῶν παυστικόν. ΕΣΧΕΝ, ἐπίσχον, ἔπαυσεν.
ΕΤΕΡΣΕΤΟ. ὑβριάνητο. Ε

ΣΧΟ

ΣΧΟΛΙΑ ΕΙΣ ΤΗΝ Μ΄ ΤΟΥ ΟΜΗΡΟΥ ῥαψῳδίαν.

129 Α Σ Ο ΜΕΝ ΕΝ ΚΑΙΣΙΗΙΣΙ ΜΕΝΟΙΤΙΟΥ ΑΛΚΙΜΟΣΥΟΣ. πάγκλος ὁ μνοιτὶς ῥιφόμενον οὐ ὀπὸντι ἀλοκρίδι, πιρίπιπτιν ἀκνίσιν πλαίσμασι, πᾶδα γὰρ ἑλικιώτιν ἀμφιδάμαστος ἐπ ἀσπίδι κλησώνυμον. ἢ ὡς πίρ τινες Β αἰόλιν πιρὶ ἀγραύλων ὀργιάδις, ἀπίκτειναν, ἀδὶ τότε δὶ φυγῶν, ἐς φθίαν ἀφίκιτο, κἀκῆ κατὰ συγγένειαν πλήσας. ἀχιλλεῖ σιωπῶν, φιλίαν δὶ ὑπερβάλλουσαν πρὸς ἀλλήλους φυλάξαντες, ὁμῶς ἰδὶ ἴλιον ἐπράτουσαν, ἢ ἱστορία παρὰ ἰλλανίκῳ. ΟΜΙΛΑΔΟΝ. ἀθρόοι, οἷον κατὰ πλῆθος καὶ συστροφήν. ΤΑΦΡΟΣ ΕΤΙ ΣΧΗΣΕΙΝ ΔΑΝΑ Γ ΩΝ ΚΑΙ ΤΕΙΧΟΣ ΥΠΕΡΘΕΝ. ἔπλασι τεῖχος ὁ ποιητὴς εἰς τιμὴν τοῦ ἀχιλλίως, κἄπειτα ἀπολύμενον αὐτὸ ἐᾶσαι, ἵνα μὴ ἰλίγχηται αὐτοῦ τὸ ψεῦδος ὡς μὴ γενομένου ὑπὸ τῶν μεταγενεστέρων ἢ τὴν ἀπώλειαν αὐτοῦ εἶπε. ΣΧΗΣΕΙΝ. ἀνθίξειν, καλύσειν. ΝΕΩΝ ΥΠΕΡ. ἀντὶ τοῦ πρὸ τῶν νεῶν, ἢ ἀντὶ ἀσφαλείας. ΑΜΦΙ ΔΕ ΤΑΦΡΟΝ Δ ΗΛΑΣΑΝ. πίρι ξὶ τὸ τεῖχος ὤρυξαν τάφρον. ΛΗΙΔΑ. λέαν, λάφυρα. ΡΥΟΙΤΟ. φυλάσσοι. ΤΕΤΥΚΤΟ. ἠατασκεύασο. ΤΩι ΚΑΙ ΟΥΤΟΙ. ἀντὶ τοῦ διὸ ἔδαμῶς. ΕΜΠΕΔΟΝ. ἱδραῖον, βέβαιον. ΩΦΡΑ ΜΕΝ ΕΚΤΩΡ. καὶ τὰ ἑξῆς, προαναφωνεῖ ταῦτα ἢ λιλιθότως

λέγει

λίγε τὴν πόρθησιν τῆ ἰλίου. ΤΟΦΡΑ. τότε νικᾶτε. ΜΗ ΤΙΟΩΝΤΟ. ἐβουλεύοντο. ΑΜΑΛΔΥΝΑΙ. ἀφανίσαι. ΠΟΤΑΜΩΝ ΜΕΝΟΣ. πυρίφλεγικτὸς ποταμὸς. ΒΟ ΑΓΡΙΑ. τὰ τῶν βοῶν ἀγρύπνματα τοτ' ἔστι τὰς ἐκ βυρσῶν κατασκευασμένας ἀσπίδας. ΗΜΙΘΕΟΝ. ἡμίθεοι οἱ οὐκ θεὸν ἔχοντες γονέα ἡρὲ οὐκ ἄνθρωπον. ΟΜΟΣΣΕ. ἁμᾶ, εἰς τὸ αὐτό. ΕΝΝΗΜΑΡ ΔΕΣ ΤΕΙΧΟΣ. ὅλη ἡμέρας, οὗτοι ὁ λαὸς ἡρὲ διὰ τὸ οὐδὲν ν. αὐαγιγνώσκουσιν ἐννῆμαρ, ἵν' ἡμιᾶ ἡμέρα ὡς τι μᾶλλον ἀπὸ τῶν θεῶν λωφήσωμεν μὴ λωποδύτων καταῤῥιφέντες θάττον δὶ τοῦ τῶν ἑλλήνων ὀμιᾶ ἡμέρα γεγονός, οἱ δέ φασι τέσσαρας διὰ τοῦτο ποταμὸς ἐσάγει ἡρὲ θὼς παρίστησιν, ἐχ ἵνα μόνον ἀφανίσῃ τὸ τεῖχος, ἀλλὰ ἡρὲ τὸν τόπον διὰ τὸ μὴ δὶ ἰχνος φανῆναι. ΥΕΝ. ὕδρηχι. ΣΥΝΕΧΕΣ. συνεχῶς, ἐπιμόνως. ΑΛΙ ΠΛΟΑ. τῇ θαλάσσῃ ἐπιπλέοντα. ΘΕΙΗ. ποιήσῃ. ΘΕ ΜΕΙΛΙΑ. θεμέλια, ἰδιάλεκτος. ΦΙΤΡΩΝ. κορμῶν. ΛΑΩΝ. λίθων. ΑΓΑΡΡΟΟΝ. ἄγαν ῥοώδη, ὅ ἐστι σφοδρὰ ῥεύματα ἔχοντα. ΗΙΟΝΑ. αἰγιαλόν. ἔτω δὲ ἰλιαλῆτη ὁ παραθαλάσσιος ἢ ὁ λύσιμος τόπος παρὰ τὸ ἰόναι. ΚΑΡ ΡΟΟΝ. κατὰ τὸν ῥῆν. ΙΕΝ. ἀφῆσαν. ΔΕΔΗΙΕΙ. δέδηε, διεγήγερτο. ΚΑΝΑΧΙΖΕΝ. ἔχει. ΔΟΥΡΑΤΑ ΠΥΡΓΩΝ ΒΑΛΛΟΜΕΝΑ. ἤτοι τὰ δόρατα ἤχητὰ ἐπὶ τὰς πύργους ἀκοντιζόμενα, ἢ τὰ σκοπουμένοις τοῖς πύργοις ξύλα, ἤχει τοῖς δόρασι βαλλόμενα. ΔΙΟΣ ΜΑΣΤΙΓΙ. τῇ διὸς γνώμῃ τὰς ψυχὰς κεκαπακυῖαι, μάστιγι δὲ τῷ κεραυνῷ. ΕΕΛΜΕΝΟΙ. συγκεκλεισμένοι. ΙΣΧΑΝΟΩΝΤΟ. κατείχοντο, ἐπέθοντο. ΒΛΕΜΕΑΙ ΝΩΝ. ἐπιῤῥωννύμενος. ΠΥΡΓΗΔΟΝ. πύργου δίκην σὺ τάξει. ΑΡΤΥΝΑΝΤΕΣ. παρασκευάσαντες, ἑτοιμάσαντες. ΘΑΜΕΙΑΣ. συνεχῆς, πυκνάς.

ΑΓΗΝΟ-

Α ΑΓΗΝΟΡΙΗ. ἡ ἄγαν προθυμία, αὐθρεία. ΤΑΡΦΕΑ. πυκνά. ΟΠΠΗ ΤΙΘΥΣΗι. ὅπη δ' ἂν ὁρμήσῃ. ΤΗι ΤΕΙΚΟΥΣΙ. κατὰ τοῦτο ἔκκειται ὁ ἔζω τοῦ χωρίου. ΕΙ ΛΙΣΣΕΤΟ. ἐτρέφετο. ΧΡΕΜΕΤΙΖΟΝ. ἰδιάζουσαν φωνὴν ἐπέτιλλον. ΑΠΟ ΓΑΡ ΔΕΙΔΙΣΣΕΤΟ. αὐτὴ τοῦ βίου ἦγε καὶ φόβου. ΥΠΕΡΘΟΡΕΕΙΝ. ὑποδρομὰς

130 Β σαι. ΡΗΙΔΙΗ. ῥᾳδίως, εὐπόλως. ΚΡΗΜΝΟΙ. ἀφ' ὕψους. ΕΠΗΡΕΦΕΕΣ. ὑψηλοί, μεγάλοι. ΗΡΗΡΕΙ. ἐπετύκτω το, ἥρμοσο. ΑΛΕΩΡΗΝ. φυλακὴν, ἐκκλισιν, ἀποφυγὴν. ΜΕΝΟΙΝΕΟΝ. προθυμοῦντο ἀνύειν. ΕΙ ΤΕΛΕΟΥΣΙΝ. εἰ τελέσουσιν, ὅ ἔζω παίλβοσιν. ΕΙΠΕ. προσφθέγξατο. ΑΦΡΑΔΕΩΣ. ἀπρονοήτως ἀπείρως. ΣΤΕΙΝΟΣ. φώνη

Γ μα. ΤΡΩΣΕΣΘΑΙ. ἐτληθέσθαι, ῥῶμα γὰρ ἡ ἔτλα. ΑΛΑΠΑΖΕΙ. κωφοῖ, πορθᾷ. ΝΩΝΥΜΝΟΥΣ. ἀνωνύμους. ΠΑΛΙΩΞΙΣ. πάλιν λίωξις, ὅτω γὰρ καλεῖται ἡ τῶν διωκόντων φυγή. ΕΝΙΠΗΞΟΜΕΝ. ἐμπέσωμεν. ΑΥΟΡΟΝ. ἐς τὰ πίσω ὁρμήσαντα. ΕΛΙΧΘΕΝΤΩΝ. ὑποσρα φέντων. ΕΡΥΚΟΝΤΩΝ. αὐτὶ τῶ ἐρυκήσασθαι ὁ ἔζω καὶ ἐχέτω

Δ σαν. ΠΡΥΛΕΕΣ. πύλοὶ ὁπλῖτ. ΑΔΕ. ἤρκεσαν. ΑΠΗΜΩΝ. ἄλυπος. ΗΓΕΡΕΘΟΝΤΟ. ἀπαωρῶντο, ὑπερμάντο. ΑΡΤΥΝΑΝΤΕΣ. παρασκευάσαντες, τάξαντες. ΠΕΝΤΑΧΑ. ἐς πόντε τάξεις. ΠΑΡΙΣ. ὁ ἀλίξανδρος, κατὰ χάσμος ἔχουσα ἡ ὑλάβη, ὕναρ ἐθειάσατο ὅτι ἔτικτε Λαλόν, ἀφ' οὗ κατιφλίχθη πᾶσα ἡ πόλις, τὸ οὖν τεχθὸν, οὐ

Ε γνώμη τῶν μαύτων ἐρετίθη, ἀλλὰ γνώμη θεῶν. ὃ ὑπὸ τοῦ δρύντος ἐγράφη, βακύλα, ἄρκτον γὰρ αὐτῷ γάλα ἐπισοῦσαν θεασάμενος, αὐτίκα ἐφυγεν, ἐκλάθη ἔν παρισ, ἀγνοῦσιν ὅτι ὥς τινές φασι οὐ πύρα ἐγράφη, ἀλλ' ὅτι τοῦ μόρου παρῆλθεν, ὕστερον δὲ ἀλίξανδρος ὅτι τῇ παρίδι πλέξησιν, ὅ ἔζω ἐβούθησε τοῖς λίμνε ἐπελθόντος. ΠΡΟΣ ΔΕΛΕΤΟ. προσίλαβε λέ-

ΕΙΣΑΝΤΟ. ἴδοξαν. κατιφάνησαν. ΔΙΑΚΡΙΔΟΝ. Α
ὅστι διακεκριδαι καὶ φανερὸν ἔναι πᾶσιν. ΕΠΡΕΠΕ
λίπρεπεν. ΑΡΑΡΟΝ. ὑσφαλίσαντο. ἥρμοσαν. ΤΥ
ΚΤΗΣΙ ΒΟΕΣΣΣΙ ταῖς ἐργασμένοις βύρσαις. λέγει
δὲ ταῖς ἀσπίσιν. ἢ λέποτι ἢ βοῦν ἁπλῶς λέγει τῷ ἀσπί
δι. ἀλλὰ μετά τινος ἢ οὗ γνωρίζεται, βοῦν ἀσαλίκην. ΛΕ
ΛΙΗΜΕΝΟΙ. παρωρμημένοι. ὄρθριοι. ΣΧΗΣΕΣ- Β
ΘΑΙ. σχεθῆναι. κωλυθῆναι. ΠΕΛΑΣΣΕ. προσάγγυ
σι. προσέλθειν. ΑΛΥΞΑΣ. διαφυγών. ΔΥΣΩΝΥ 131
ΜΟΣ. χαλεπή. ΔΕΥΚΑΛΙΔΑΟ. δεύκαλίωνος
παιδός. γίγονται δὲ ἐκ πύῤῥας καὶ δεύκαλίωνος. ὡς
φησιν ἀπολλόδωρος παῖδες. ἕλλην μὲν πρῶτος ὃν ἐκ
δεὸς ὄνοι γεγεννῆσθαι λέγουσι. δεύτερος δὲ ἀμφικτύων ὁ Γ
μετὰ πραναὸν βασιλεύσας τῆ ἀττικῆς. δυγάτηρ ἦ. πρωτο
γόνεια. ΕΙΣΑΤΟ. ὥρμησε. σημαίνει ἦ γ ἔσατο αὐτὶ τοῦ ἐφάν.
ἔσαλο γὰρ νεῶν ἐπ' ἀριστερά. ἔσαλο αὐτὶ τοῦ ἐφάνη. ἔσαλο δ'
ὅστι ῥινόν. ἔσαλο, ἔγνω. ἔσομαι ἐκ καίμ' ὀδυσσεύς. ΟΧΗΑ.
τὸν συνηλικιῶν δὲ βύρσας μοχλόν. ΙΘΥΣ. ἐπ' εὐθείας. Δ
ΕΠΟΝΤΟ. παρεγίνοντο. ΚΕΚΛΗΓΟΤΕΣ. κε
κραγότες. ΛΑΠΙΘΑΩΝ. λαπίθαι ἥρωες ἀχαιοὶ ἀ-
πὸ λαπίθου τοῦ ἀπόλλωνος καὶ στίλβης νύμφης τὸ γέν
ος ἔχοντες. ΥΥΙΚΑΡΗΝΟΙ. μακραί. ΔΙΗΝΕΚΕ-
ΕΣΣΙΝ. ἐπιμήκεσιν. ΑΡΑΡΥΙΑΙ. ἡρμοσμένῃ ὑ. βέ-
βαιαι. ΕΦΕΒΟΝΤΟ. ἔφυγον. ΒΟΑΣ ΑΥΑΣ.
βύρσας ἡνίας τοῦ ἵππου ἀσπίδας. ΕΚΙΟΝ. ἐπέσαν. Ε
ΕΙΩΣ. ἕως. μέχρι ἐλθεῖν τοὺς βαρβάρους. ΕΝΔΟΝ. ἔως
τείχων. ΕΚ ΔΕ ΤΩ ΔΙΞΑΝΤΕ. βληθέντες δὲ
αὐτοί. ΔΕΧΑΤΑΙ. ἐκλείχονται. ΚΟΛΟΣΥΡ-
ΤΟΝ. παρὰ τὸ τὰ κῶλα ἐπισύρειν. ἢ τὸν κολωὸν ἄγουν
τὸν συρικμόν. ΙΟΝΤΑ. ἐπερχόμενον. ΔΟΧΜΩΙ

Α ΤΑΙΣΣΟΝΤΕ. ἀεὶ πλάγιον ὁρμῶντος. ΑΓΝΥΤΟΝ. κατακλᾶσαι. κατατάσσουσι. ΠΡΥΜΝΗΝ. ἰκ ῥιζῶν. ἰσχάτην. ΥΠΑΙ ΔΕ. ὑπὸ δὶ τῶν ὁλόντων. ΚΟΜΠΟΣ. ψόφος. ΛΑΟΙΣΙ ΚΑΘΥΠΕΡΘΕ ΠΕΠΟΙΘΟΤΕΣ τοῖς ἀπὸ τ τάχους ὄχλοις θαρροῦντις. ΚΑΘΥΠΕΡΘΕΝ. ὑπερροαψ. ΕΡΑΣΕ. ἀεὶ τῶν γῶν. ΖΑΗΣ μεγάλως πνέων.

Β βία. ΚΟΡΥΘΕΣ ΔΑΜΦΑΥΟΝ ΑΥΤΕΥΝ. αἱ περικεφαλαῖαι ἢ αὐτὸ ξυρὸν ἔχον ἀκρίτιλον. περιέχων. ΑΥΟΝ. ξυρόν. ΜΥΛΑΚΕΣΣΙ. βαχίσι λίθοις. ΑΛΑΣΤΗΣΑΣ. βεβιασμένας. ΦΙΛΟΥΕΥΔΗΣ. ψεύστης. ΣΧΗΣΕΙΝ. ἰσχᾶν. ΜΕΣΟΝ ΑΙΟΛΟΙ. ποικίλοι τὰ μέσα τ σώματος. οἱ γὰρ ἱππεῖς μέλανες καὶ ξανθοὶ ἀφ' οὗ σύνιστοι. ὡς καὶ ἀλλαχοῦ φησι. αἰόλον ἵππον. ἄμεινον ἢ ἀκέων τὸν σύνιστας. ΟΔΩΙ ΕΠΙ. ἀντὶ τ παρὰ τὴν ὁδόν. ΠΑΙ ΠΑΛΟΕΣΣΗΙ. τῇ πολλὰς ἱκταμὰς ἰχούσῃ. τῇ ῥαχείᾳ. ΟΙΚΙΑ. τῶν φυλετῶν. καὶ κοῖλον λόφον τῶν σφηκίαν φησί. ΘΗΡΗΤΗΡΑΣ. τὰς ἱππεύοντας. ΧΑΣΣΑΣΘΑΙ

132 χωρισθῆναι. ΘΕΣΠΙΔΑΕΣ. θεῖον τὸ ὑπὸ θεῶν ἀναπ

Δ ζόμενον. ΑΚΑΧΗΤΟ. ἐλελύπητο. ΧΑΛΚΟΠΑΡΗΙΟΥ. χαλκᾶς παραγναθίδας ἰχούσης. ΕΣΧΕΘΕΝ. ἰσχεν. ἰκαλύθη. ΤΥΧΗΣΑΣ. ἐπιτυχών. ΑΥΤΟΣΧΕΔΙΗΝ. ἐκ χαρᾶς. ΕΠΑΣΣΥΤΕΡΟΥΣ. ἐπ' ἀλλήλοις. ΥΠΙΠΕΤΗΣ. ἐς ὕψος πτόμενος. τῷ δὶ τόνῳ ἀναγωγεῖον ὡς πτελεκηφόρος. ὑψιπετὴς δὶ ἀ

Ε πὸ ὕψους πίπτωκώς. ΕΕΡΓΩΝ. ἀφορίζων. ὥστε φανίσθαι μέσον αὐτῶν. ΕΠΑΡΙΣΤΕΡΑ ΛΑΟΝ ΕΕΡΓΩΝ. ὑποχωρῆσαι συμφέρον. προσκαίνων. ἀεὶ γὰρ σημεῖα τὰ ἀπαίσια. λῃστὰ δὶ τὰ συμφέροντα. ῥητέται δὶ πῶς ὁ ζεὺς ἐπηρατεύσατο θέλων πεῖσαι τοὺς ῥῶας σημεῖον αὐτοῖς κωλυτικὸν ἀπαίρειν. φασὶ γὰρ

χαρ, ὅφις γάρ σφιν ἐπῆλθε πιρησόμενα μιμαῶσι. καὶ ῥητέον Α
ὅτι νικηνμὲν ἐβούλιτο τοῖς φωσὶν. βιλτίων δὲ τὸ λίαν τῶν
ἄλλων. ὁ γὰρ κατὰ προαίρισιν αὐτοὺς ὑμισι. ἀλλὰ χα-
λεπόμενος βιτιλι. ΦΟΙΝΗΕΝΤΑ. φονευτικόν. ἢ
πυῤῥόν. ΚΟΥΕΝ. ἔλαβιν. ἔπληξιν. ΕΧΟΝΤΑ.
κρατοῦντα. ΙΔΩΝΘΕΙΣ. συνελάσας ἑαυτόν. καμ-
φθείς. ΑΠΟ ΕΘΕΝ. ἀπὸ ἑαυτοῦ. ΚΛΑΓΞΑΣ. Β
βοήσας. ΑΙΟΛΟΝ ΟΦΙΝ. τὸν ποικίλον καὶ πολύ-
σκηπτον. πίπονθι δὲ ὅπ τίλος ὁ σίχος, ἴχνη τὴν ἐκ λύο
βραχείων πυῤῥίχιον καὶ καλεῖται μέτρον. ΕΣΘΛΑ
ΦΡΑΖΟΜΕΝΩι. τὰ ἀγαθὰ συμβαλόντι. ΔΗ-
ΜΟΝ. νῦν τὸν δημότην. ΠΑΡΕΞ. ἔχω τὸ δίοντος
δημηγορεῖν. ΑΕΞΕΙΝ. αὔξειν. ΜΗΙΟΜΕΝ. μὴ Γ
ἀπίλθωμεν. ΡΗΞΟΜΕΘΑ. διαῤῥήξωμεν. ΟΥ ΚΟΣ
ΜΩι. ὁ κατὰ τὸ δίον. ΑΥΤΑ ΚΕΛΕΥΘΑ. τὰς
αὐτὰς ὁδούς. ΥΠΟΚΡΙΝΑΤΟ. αὐτὶ τοῦ ἀπεκρίνατο
ἐξηγούμενος τὸ σημεῖον. ΘΕΟΠΡΟΠΟΣ. ὁ ἐκ θέας
ἐπισκοπῶν μαντεύομενος. ὁ χρησμῳδός. νῦν δὲ οἰωνιστὴς
ΕΙΔΕΗ ΤΕΡΑΩΝ. ἐπισήμων ἦν παρατηρήσεως σα Δ
μέως. ΠΟΥΛΥΔΑΜΑ ΣΥ ΜΕΝ ΟΥΚΕΤΕΜΟΙ
ΦΙΛΑ ΤΑΥΤΑ ΟΡΕΥΕΙΣ. ἡρακλέης πορθήσαν-
τος ἴλιον, πρίαμος ὁ λαομέδοντος παραλαβὼν τὴν βα
σιλείαν, ἐπεμψεν ἐς δελφοὺς μαντευσόμενος περὶ τῶν οἰ
κείων. οἱ δὲ πορευθέντι, χρησμόν τι λαμβάνουσι, καὶ
παύθαι ἵνα τῶν δελφῶν ἄγουσι. ὅπως κατὰ τὸ συνηθὲς Ε
μαντεύηται πρίαμος. γάμας δὲ οὕτως θυγατέρα κλυτὸν
προνόμην, πολυλάμαντα γυναῖ, τὴν τιμαντικὴν ἀνα-
διδάσκει. λίγεται δὲ μιᾷ νυκτὶ τοσούτοι καὶ τὸν ἕκτορα
γεννηθῆναι. ΑΠΟΣΠΟΥΔΗΣ. ἀπὸ πρόσως. ΕΞ ΑΡΑ 133
ΩΛΕΣΑΝ. ἐβούλισαν δή. ΤΑΝΥΠΤΕΡΥΓΕΣΣΙ

Α ἐπιμήκεις πλίνθους ἔχουσι. ΕΙ ΤΕΠΙ. ΔΕΞΙΩΣΙ ΗΡΟΣ ΗΩΤΙΕΛΙΟΝΤΕ. λιβικά. τὰ ἀνατολικὰ καλεῖ. ἀριστερὰ δὲ, τὰ λυσικά. ΠΡΟΣ ΗΩ. πρὸς ἀνατολήν. ΠΟΤΙΖΟΦΟΝ. πρὸς λυσμάς. ΜΕΝΕΔΗΙΟΣ. μένων τοὺς πολεμίους ὁ τῇ μάχῃ. πολεμιός. ΠΑΡΦΑΜΕΝΟΣ. παραλογισάμενος. πάσας. ΔΑ

Β ΜΕΙΣ. πλινθίας. ΘΕΛΓΕΝ. ἀπάτα. ἴβλακῆ. ΠΕΙΡΗΤΙΖΟΝ. διάπειραν ἐποιοῦντο. ΚΡΟΣΣΑΣ. τὰς ὑποπρόσας κλίμακας. ΠΥΡΓΩΝ ΕΡΥΟΝ. αὐτὸ τὸ ἐπὶ τοὺς πύργους ἕλκον. παριτάσαν. ΕΡΕΙΠΟΝ κατέβαλλον. κατέτριφον. ΕΠΑΛΞΕΙΣ. τοὺς προμαχῶνας τῶν τειχῶν. ΣΤΗΛΑΣ. ὀρθοὺς λίθους παρὰ τὸ

Γ ἑστάναι. λέγει δὲ τοὺς θωμίλους. ἔθνη γὰρ προβλῆτας αὐτοὺς φησι παρὰ τὸ προβεβλῆσθαι. ΕΜΟΧΛΕΥΟΝ. διὰ μοχλῶν ἐκίνουν. ΕΧΜΑΤΑ. ἐρείσματα. ΑΥΕΡΥΟΝ. ἔβαλλον. ΚΕΛΕΥΤΙΟΩΝΤΟ. παρακελεύοντο. ΦΟΙΤΗΤΗΝ. ἐμμανῶς ἐπήρχοντο. ΣΤΕΡΕΟΙΣ. ἐπιτεταμένοις. σκληροῖς. ΜΕΣΗΕΙΣ. μέσῳ. κατὰ λύναμιν. ΤΕΤΡΑΦΘΩ. βαπίσθω. Ο

Δ ΜΟΚΛΗΤΗΡΟΣ. τὸ ἐγκλείσμενον. τὸ ἀπειλοῦντος ΠΡΟΣΩΙΕΣΘΕ. ἐς τοῦμπροσθεν ἔρχεσθε καὶ ὁρμᾶτε ΔΙΕΣΘΑΙ. λῦσαι. ΠΡΟΒΟΩΝΤΕ. ἔμπροσθεν τῶν λοιπῶν βοῶντες. ἡ προμαχόμενοι. βοὴ γὰρ ἡ μάχη ἀπὸ τῶν παρακολουθούντων. ΩΡΕΤΟ. ὥρμησι. προεθυμήθη.

Ε ΠΙΦΑΥΣΚΟΜΕΝΟΣ. φανιροποιῶν. ἐμφανίζόμενος. ΤΑΑ ΚΗΛΑ. τὰ αὐτοῦ σημεῖα καὶ βέλη. ἃ ἔπεμπεν κατὰ χόλον. βέλη δὲ νῦν ἔρκη τὸν χαμῶνα. ΠΡΩΝΑΣ. προβολὰς ὁρῶν. βοχάς. ΑΩΤΕΥΝΤΑ. αὐθοῦντα. ΠΙΟΝΑ ΕΡΓΑ. νῦν γώργια. ΠΡΟΠΛΑΖΟΝ. προσβρχόμενον. προσρηγνύμενον.

ΕΡΥΚΕ

ΕΡΥΚΕΤΑΙ. αὐτὶ τοῦ ἐρύκει. κατέχει. ΕΙΛΥΤΑΙ. κεκάλυπται. ΕΠΙΒΡΙΣΗ. ἐπιβαρήσῃ πολὺς ἢ μέγας ἐπέλθῃ. ΔΙΟΣ ΟΜΒΡΟΣ. ὄχιὸν νῦν. ΠΟΤΩΝΤΟ. ἐπίστοντο. ἐφέροντο. ΛΙΘΟΙ ΘΑΜΕΙΑΙ. συκναὶ λίθοι. θαλυπῶς δέ φησιν. ΕΛΙΞΙΝ. μέλασιν. ἢ ἐ λοῦσι τοὺς πόδας ἐν τῇ ὥρᾳ. ΕΝΤΟΣΘΕΝ. ἔσωθεν. 134
ΒΟΕΙΑΣ. βύρσας. ΡΑΒΔΟΙΣΙ. τοῖς κανόσιν οἷς ἔ Β
χοντο αἱ ἀσπίδες. ΕΞΗΛΑΤΟΝ. ἐξελασμάτων κα τασκοναθεῖσαν. ἐξάπτυχον. ΗΛΑΣΕ. κατέκρουσεν. ΕΝΤΟΣΘΕ ΔΕ ΒΟΕΙΑΣ ΡΑΨΕ ΘΑΜΕΙΑΣ ΧΡΥΣΕΙΟΙΣ ΡΑΒΔΟΙΣΙΝ. ἐπεὶ τῶν πτύχων, αἱ μὲν ἐκ χαλκοῦ ὑπῆρχον. αἱ δὲ ἐκ βύρσης. διατοῦτο, ἐῤ ῥαψεν αὐτὰς ταῖς ῥάβδοις. ΚΕΛΕΤΑΙ. ἀναγκάζει. Γ
ΠΕΡΙ ΚΥΚΛΟΝ. ὥς τις ἐκ δι ῥαφῆς κύκλον ἀποτελεῖσθαι. ΠΕΙΡΗΣΟΝΤΑ. πεῖραν λῃψόμενον. ΠΥΚΙΝΟΝ ΔΟΜΟΝ. ἀσφαλῆ. λίγει δὲ τὸν ἱππαυλιν. ΠΑΡΑΥΤΟΦΙ. παρ' αὐτοῖς. ΒΩΤΟΡΑΣ. βοσκήτορας. βοηλάτας. ΔΟΥΡΕΣΣΙ. λόρασιν. ἀπὸ ὀνόματος κῆς δι λόρυ, ἢ γυνικὴ λόρυς καὶ λουρός. ἀπὸ δὲ τοῦ λό Δ
ρατος, καὶ λόρασι πληθυντικῶς. ΑΠΕΙΡΗΤΟΣ. αὐδὴ ἐπιβολῆς. ἄπειρος. ΜΕΜΟΝΕ. προθυμεῖτο. ΔΙΕΣΘΑΙ. λιωχθῆναι. ΕΔΡΗ. προιδέλα. τιμῇ. ΦΥΤΑΛΙΗΣ. ἀμπελοφύτου γῆς. ΚΑΥΣΤΕΙΡΗΣ. ὑμπύρα. θερμῆς. διὰ τὸ θερμὸν τῶν ἀγωνισμένων. ΠΥΚΑΘΩΡΥΚΤΑΩΝ. ἐπιμελῶς τεθωρακισμένων. πολεμικῶν. ΕΞΑΙΤΟΝ. ἐξάριτον. ΣΤΕΛΛΟΙΜΙ. παρασασάβοιμι. πέμποιμι. ΗΕ ΤΩι. ἅτινί. ΚΥΔΟΣ δόξαν. τιμήν. ΟΡΕΞΟΜΕΝ. περιποιήσωμεν. παρὰ σχωμεν. ΠΑΠΤΗΝΕ. περιβλέψατο. ΑΡΗΝ. βλάβην ὀξυτόνως. ΑΜΥΝΑΙ. ἀμύνη. ἀποσρέψῃ. ΑΚΟ

Α ΡΗΤΩ. ἀπλήστη. ΟΥ ΠΩΣ ΟΙ ΕΗΝ. ὀλίγῳ ἡμ-
αὐτῷ δυνατόν. ΒΩΣΑΝΤΙ ΓΕΓΩΝΕΙΝ. βοή-
σαντι ἀκηδόνας. ΙΠΠΟΚΟΜΩΝ. ἱχθῶν πέμας ἐβ
ἑπτέων ῥιχῶν. ΕΠΩΧΑΤΟ. ἐπικεκλιμένοι ἦσαν.
ΘΩΩΤΗΝ. ὄνομα κύριον. ΕΒΡΙΣΑΝ. ἐπιβάρησαν.
ΖΑΧΡΗΕΙΣ. ἄγαν βίαιοι. ἠλίμιγάλοι. ΤΕΛΕΘΟΥ-
Β ΣΙ. διατιλοῦσιν ΕΙΘΑΡ. σύνθεσις. ΑΝΤΙΑΣΗΤΟΝ
135 ἀπαντήσητι. μετάσχητι. ΑΝΤΙΟΩ. ἀπαντήσομαι. με-
τάσχω. ΗΙΕ. ἄπῃει. ἀπήρχετο. ΟΠΑΤΡΟΣ. ὁμόπα
τρῳ. ΕΠΕΙΓΟΜΕΝΟΙΣΙΝ. ἱσπλασμένοις. ΕΡΕ-
ΜΝΗι. σκοτεινῇ. ΜΑΡΜΑΡΩι ΟΚΡΙΟΕΝΤΙ.
λίθῳ φαχᾶ. ΥΠΕΡΤΑΤΟΣ. αὐτάτῳ. ΗΒΩΝ.
Γ ἀηδόνων. ΣΥΝ ΔΟΣΤΕΑΡΑΞΕ. συνέφηλε δὲ
τὰ ἴσα αὐτο. τὸ σῶμα συνεκολοχικῶς. ΑΜΥΔΙΣ. ὁμῶ
ΑΡΝΕΥΤΗΡΙ. κυβιστῆ. ἢ δίνῃ. καὶ οὗτοι γὰρ ἐπικφα-
λὴν ἑαυτοὺς ῥίπτουσι. παρὰ τοὺς ἄρνας. οὗτοι γὰρ κυβιστῶ-
σιν ὡς πρῶτον ἄειρα κηρύττουσιν. τινὲς δὲ τῷ δινῆνι. οἱ
γὰρ ἄρνες ἐπικφαλὴν ἵστανται ὅταν γαλήνη γίνηται. Ε-
Δ ΠΕΣΣΥΜΕΝΟΝ. ἱφορμῶντα ΗΡΙ ΔΕ ΓΥΜΝΩ
ΘΕΝΤΑ ΒΡΑΧΙΟΝΑ. καθ' ἓ μέρος ἐβιάσατο αὐ
τοῦ τὸν βραχίονα γυμναμένου. ΑΛΤΟ. καθήλατο.
ΑΘΡΗΣΕΙΕ. θιάσοιτο. ΕΥΧΕΤΟΩΤΟ. παυχῆτο
ΕΣΠΟΜΕΝΟΣ. ἀπολυθήσας. ΣΑΡΠΗΔΩΝ ΔΑ
ΡΕΠΑΛΞΙΝ ΕΛΩΝ. σύρφημα τῶν φοινικῶν ξύλων
Ε ἀσάμβων οὕτινι λεμῶνι μετὰ νυμφῶν ἄνθη ἀναλίγοσαν
πράδη. καὶ κατιλθὼν, ἄλλαξεν αὐτὸν εἰς ταῦρον. ὅθεν ἀ
πὸ τοῦ σώματος πρόκον πνέων, τῶν σύρφημα ἀπατήσας
ἐβάγασε. καὶ διαπορθμεύσας εἰς κρήτην, ᾠμίγη. ἐξ οὗτος
συνῴκισεν αὐτῶν ἀγελείοντι τῷ κρητῶν βασιλεῖ. γνωμεύει δ'
ὕμνων ἐπάγη, ὡς παῖδας ἐγέννησε. μίνωα. σαρπηδόνα
καὶ

καὶ βάλλεσθαι. ἐστερεῖτο δὲ καὶ βαρυτάτης. ΔΙ Α
ΑΜΠΕΡΕΣ. λιπαρῶς. ΟΜΑΡΤΗΣΑΝΤΕ. ὁ
μῶς ὑπὸ τ' αὐτ' καιρὸν ἀφιέντες τὰ ὅπλα, καὶ ἐπιτυ
χόντες. ΣΤΥΦΕΛΙΞΕΝ. ἀπετίναξεν. ΑΡΕΣΘΑΙ.
ἀπαιτεῖσθαι. πλήσασθαι. ΕΛΙΞΑΜΕΝΟΣ. ἐπι
στραφείς. ΤΙ ΔΑΡ. τί δή. ΘΟΥΡΙΔΟΣ. ὀξυκινή
του. ταχείας. ΑΡΓΑΛΕΟΝ. χαλεπόν. ἀδύνατον. Β
ΕΦΟΜΑΡΤΕΙΤΟΝ. ἀκολουθεῖτε. ΕΚΑΡΤΥΝΑΝ
ΤΟ. ἰσχυροποίησαν. γυναῖκας συνταξάντων. ΜΑΛ 136
ΛΟΝ. ἢ τὸ πρότερον. ΕΠΕΒΡΙΣΑΝ. βαρεῖς ἐπῆλ
θον τοῖς ἀχαιοῖς. ΑΥ ΩΣΑΣΘΑΙ. ἐς τὸ πίσω ἀπώ
σασθαι. ΠΕΛΑΣΘΕ. προσπελάσθησαν. προσῆλθον
ΑΜΦΟΥΡΟΙΣΙ. περὶ ὅρῳ γῆς. ΔΗΡΙΑΑΣΘΟΝ. Γ
φιλονεικοῦσιν. ΕΠΙΞΥΝΩ. ἐπικοίνῳ καὶ ὁμόρῳ χω
ρίῳ. ΠΕΡΙ ΙΣΗΣ. περὶ τοῦ ἴσου. ΔΙΕΕΡΓΟΝ. διὰ
χωρίζον. διίστων. ΔΗΙΟΥΝ. διϊκόπτον. ΛΑΙΣΗΙΑ
μητρὶ ἀσπιδίσκια. οἱ δὲ ὅπλα ἐλθόντες ἐπαιρομένῃ καὶ κού
φῃ. ΕΡΡΑΔΑΤΑΙ. ἐῤῥαμμένοι ἦσαν. ΦΟΒΟΥ.
παναχοῦ ὁ ποιητὴς τὴν φυγὴν φόβον φησί. ΤΑΛΑΝ Δ
ΤΑ. παρὰ τὸ τάλαον καὶ τὸ μονοκτιπὸν τὸ βάρος.
ΧΕΡΝΗΤΙΣ. ἡ ἀπὸ τῶν ἔργων τῶν ἰδίων χεῖρας ζῶσα
ὅ ὄτι μισθοῦ ἄλλοις ἐργαζομένη. ΑΛΗΘΗΣ. δικαίας
καὶ ἀκριβῶς. ΑΜΦΙΣ. ἑκατέρωθεν. ΙΣΑΖΟΥΣΑ.
ἰσοῦσα. ΑΕΙΚΕΑ. τὴν σύνεσιν. καὶ οἰκτρόν. ΑΡΗ
ΤΑΙ κτήσονται. λάβῃ. ΕΠΙ ΙΣΑ ΜΑΧΗ ΤΕΤΑ Ε
ΤΟ. ἰσόῤῥοπος καὶ ὁμοία ἦν ἡ μάχη αὐτοῖς. ΥΠΕΡ
ΤΕΡΟΝ. μέγα. ΕΣΗΛΑΤΟ. ἐὰν μὲν ἐλασίνῃς, ἐσ
πλῆθῃ. ἐὰν δὲ ψιλῶς ἐπάλσῃσιν. ΕΝΙΕΤΕ. ἐμβάλλε
τε. ΚΡΟΣΣΑΩΝ. ἐπορύσσων κλιμάκων πρὸς τεῖχο
μαχίαν ἐπῆλθεν. ΠΡΥΜΝΟΣ. πρῶτος κατὰ τὸ ἴσ

Α χατομμίρ☉, ΠΑΧΥΣ. ἐπιβαρύς. ΑΠΟΥΔΕΟΣ ΟΧΛΙΣΗΑΝ. ἀποκινήσειαν τὸ ἱλάφυρ. ΠΑΛΛΕΝ. αὖθις ἀλλήλ. ἐκίνει. ΟΛΙΓΟΝ ΑΧΘΟΣ. ὡς νοῦφομβάρ☉. ΕΠΕΙΓΕΙ. βαρεῖ. ΣΑΝΙΔΩΝ. τῶν βυρσῶν. ΑΕΙΡΑΣ. ἐπάρας. βασάσας. ΔΙΚΛΙΔΑΣ λιθύρους. ΟΧΗΕΣ. οἱ μοχλοὶ ἀπὸ τοῦ συνέχειν τὰς βύ-
Β ρας. ΕΙΧΟΝ. κατεῖχον. ΕΠΗΜΟΙΒΟΙ. ἐπ' ἀμοιβῆς ἀλλήλοις ἐπικείμενοι. ἐς ἰφ' ἕνα. ΚΛΗΙΣ. κλεὶς. ΕΠΑΡΗΡΕΙ. ἐφήρμοσο. ἐπέκειτο. ΕΡΕΙΣΑΜΕΝΟΣ μετὰ πολλῆς δυνάμεως ἐπιφανεὶς. ΕΥ ΔΙΑΒΑΣ. ἰσχυρῶς βάς. ΑΦΑΥΡΟΤΑΤΟΝ. αὖτι τὸ ἀφαυρὸν καὶ ἀσθενὲς. ἴστι δὲ ὑποστικτικὸν αὖτι τοῦ ἀπολύτου. ΘΑΙ-
Γ ΡΟΥΣ. τοὺς θρᾴττας. ΒΡΙΘΟΣΥΝΗι. τῷ βάρει. ΕΣΧΕΘΕΤΗΝ. ἐπίσχον. ΔΙΕΤΜΑΓΟΝ. διεχίαθησαν. διεχωρίαθησαν. ΛΑΟΣ ΥΠΑΙ ΡΙΠΗΣ. ὑπὸ δὲ τοῦ λίθου φορᾶς. ΕΣΘΟΡΕΝ. ἐστωβόλησε. ΝΥΚΤΙ ΘΟΗι. ὅτοι τῇ ταχέως ἐπιλαμβανούσῃ τῶν γῶν. ἢ ἐπεὶ δοκεῖ ταχέως φαίνεσθαι ὡς πρὸς τὸν ἡμέραν, κοιμω-
Δ μένων ἡμῶν. ΥΠΩΠΙΑ. τὸν πρόσοψιν, ἀπὸ μέρους τὸ ὅλον. ΤΟΝΕΕΣΤΟ. ὃν ἡμφίεσο. ΕΛΙΞΑΜΕΝΟΣ. ἐπιστράφεις. ΥΠΕΡΒΑΣΑΝ. ὑπερίβησαν. ΕΣΕΧΥΝΤΟ. ἐσχύθησαν. ἐσκύλευν βροπικῶς ἀπὸ τῶν ὑδάτων. ΕΦΟΒΗΘΕΝ. εἰς φυγὴν ἐβράκησαν. ΑΛΙΑΣΤΟΣ. ἀμετάβριπ☉. ἄπαυσ☉. ΕΤΥΧΘΗ. ἐγένετο.

ΣΧΟ

ΣΧΟΛΙΑ ΕΙΣ ΤΗΝ Ν. ΤΟΥ ΟΜΗΡΟΥ ξαψῳδίαν.

ΕΥΣ ΔΕΠΕΙΟΥΝ ΤΡΩΑΣ ΤΕ Α 137
ΚΑΙ ΕΚΤΟΡΑ. κεχώρικε τῶν λει
πῶν ῥώων τὸν Ἕκτορα κατ' ἰθὺ χλῶ. μι
τὰ τὴν ἰδίαν πόρθησιν Ἕκτωρ ὁ περὶ αὐτὸν
καὶ μετὰ θάνατον, τὴν ἀπὸ θεῶν σὺν τύ
χοις τιμήν. οἱ γὰρ θοωτίαι θυβαῖοι
περιζώμενοι κακοῖς μαντεύοντο περὶ ἀπαλλαγῆς. χρησμὸς Β
ἦν αὐτοῖς ἐνθάδε, παύσεσθαι τὰ δεινά, ἐὰν ἐξ ἀφνείου γυνὰ
δος τὰ Ἕκτορος ὀστᾶ διακομισθῶσιν ὅθι τὸν πατρῷον αὐτοῖς κα
τῴκησαν τόπον διὸς γονάς, ἵνα δὲ τοῦτο ποιήσαντες καὶ τῶν
δεινῶν ἀπαλλαγεῖεν, διὰ τιμῆς ἴσχον Ἕκτορα, κατά τε
τὰς ἐπειγούσας καιρὸς, ἐπικαλοῦντ' αὐτὸν, τὴν ἐπιφάνειαν αὐτοῦ,
ἡ ἱστορία παρ' ἀμφοτέροις. ΕΠΕΙ ΟΥΝ. ἐπεδή. ΠΕ Γ
ΛΑΣΣΕ. προσπίλασεν, ἐγγίσαι ἐποίησε. ΠΑΡΑ ΤΗ
ΣΙ. παρὰ ταύταις. ΠΟΝΟΝ. τὴν κατὰ τὸν πόλεμον τα
λαιπωρίαν. ΟΙΖΥΝ. ταλαιπωρίαν. ΝΩΛΕΜΕΩΣ.
ἀδιαλείπτως. ΠΑΛΙΝ ΤΡΕΠΕ. τὴν ἀπὸ τοῦ βίβλος με
ταστροφὴν λέγει, ὅστε πάλιν κλίνασα, οἱ δὲ ἀνὰ μέρος μυ
σίαν καὶ θράκην ὁρῶν. ἔστι δὲ καὶ τοτὲ σώφρων ὁ μέρμ, πά
λιν πρὸς ἑσπέραν γίγοντα, καὶ ἐς τὰ πίσω πάλιν ἐρύσασα, καὶ Δ
ἀνατολὴν ἀ δὲ πάλιν ἐρίει. ΟΣΣΕ ΦΑΕΙΝΩ. ἐφθαλ
μὼς παρεχομένους τὸ φῶς, ἤγουν ὑπνοῦς. ΙΠΠΟΠΟΛΩΝ.
περὶ ἵππους πολέντων ἐξ οὗ πολεμικῶν. ΑΙΑΝ. γὰρ. ΑΓ
ΧΕΜΑΧΩΝ. τῶν συμμάχων καὶ ἐν τῷ πλησίον μαχομέ

Α ρων. ΑΓΑΥΩΝ. λαμπρῶν, καὶ οὐδόξων, ἢ ὄνομα ἔθνους ἄτων καλυμμένων ἀγαθῶν. ΙΠΠΙΜΟΛΓΩΝ. ἵπποις ἁμιλλωμένοις, γαλακτοφάγοι γάρ εἰσιν, ὅθεν καὶ γαλακτοφάγοι αὐτοὺς ἔπιν, ἢ οἱ ἀριστεύοντες γάλακτι καὶ λιτῇ διαίτῃ, καλῶς ἄρτιοι διπαιότατοι, ἐπιθυμίαν χὰρ πλείονων ἐπ' ἀδικίαν ἄγει, τοῦτο σωτηρίων καὶ λιτοεργοσ, κοινῶν καὶ οὐ πιεστικὸν λακεδαιμονίοις διάταγμα ἐσήνεγκεν. ΑΒΙΩΝ. ἄτοπ-
Β βιοῖς μὴ χρωμένων ὅ ὄστι τόξοις. ἢ τὸ α κατ' ἐπίτασιν οἱ ἢ πολυβίων καὶ πολιτῶν, ἢ τῶν ἥμερον βίον μὴ ἐγνωκότων, ἐπιφέρει χὰρ ἀνιαστότατον ἀνθρώπων, ἢ μὴ βιαζομένων, ἔστι δὲ καὶ ἔθνος οὐ σκυθικὰ ἄβιοι, δι καὶ ἀμαξόβιοι καὶ νομάδες ὀνομαζόμενοι. ΑΛΑΟΣΚΟΠΙΗΝ. κατάσκοπον τῶν κατα-
Γ σκοπῶν, ὅ ὄστιν ἐπιμελῶς ἰσκόπει, ἀλαὸς χὰρ ὁ τυφλός. ΘΑΥΜΑΖΩΝ. θαύμενος, καθερῶν. ΥΨΟΥ ΑΠΑΚΡΟΤΑΤΗΣ ΚΟΡΥΦΗΣ ΣΑΜΟΥ ΥΛΗΕΣΣΗΣ. σάμιοι δι οὐ ἰωνιάμιτα διακοσιοστὸν ἢ οὐατον ἵτες τῶν φωϊκῶν, χρησμὸν ἔλαβον παρὰ Ἑ πυθίᾳ ἀς τὸν οἰκιστὴν φωκάδι βρά κην μετοικῆσαι, ἀφ' ὧν ἡ σαμοθράκη προσηγορεύθη, ἢ ἰσο-
Δ εία παρὰ ἀπολλοδώρῳ. ΣΑΜΟΥ ΘΡΗΙΚΙΗΣ. ἡ σαμοθράκη, τὸ μὲν τοι οὐ αὐτὴ ὄρος, σαώκη καλεῖται. ΕΝΕ ΜΕΣΣΑ. ἐμίμφετο. ΠΑΙΠΑΛΟΕΝΤΟΣ. φαχίῳ. ΚΡΑΙΠΝΑ. κραπνῶς, ταχέως. ΠΡΟΒΙΒΑΣ. ἤρμα προβαίνων. ΟΡΕΞΑΤΟ. βρύκειν, βιβρ. ΤΟ ΔΕ ΤΕ
Ε ΤΡΑΤΟΝ. προσληπτέον ὀρεξάμενος. ΑΙΓΑΣ ΕΝΘΑ ΔΕ ΟΙ ΚΑΥΤΑ ΔΩΜΑΤΑ. αἰγαὶ πόλις ἀχαΐας οὐ πελοποννήσῳ, σθεν τιμᾶται ὁ ποσειδῶν, ἄγεται δὲ καὶ διονύσῳ ἑορτή, οὐ ἢ πεισὶ ἄρ ὀχρὸς συφὰς τὰς τῶ δάμο νος τιμητὰς ὀργιάζῃ, καὶ θαυμάσιον ἐπιτελεῖσθαί φασιν ἔρ γον, ἄμπελοι γὰρ ἂς πολλῶν ἐφ' ἡμέρας αὐισχόσης ἡμέρας, καρπὸν βλασταίνουσιν, ἄχρι δὲ ἀσπάρας οἶνον ἄφθονον ἔχουσιν. ἃ

σιμ, ἢ ἰσοθέα παρὰ θυρσείωνι. ἴδηται δὲ διατὶ οὐθὶς ὁ Α
πορεύται ὁ ποσειδῶν ἐς ῥοῖαν, ἀλλὰ τὸν χρόνον διατε
τᾶ πορευθεὶς ζε αἰγάς. ῥητέον ὅτι ἀνεῖν ἕνεκα πραγμάτων
μιμεῖται ἡ ἀποδημία, πρῶτον μὲν, ἵνα ἀποπλανήσῃ
τὸν διία ὡς ἀπολιλοιπὼς τὸ πόλεμον, δεύτερον δὲ, ἵνα κα
ᾖωπλιαθῇ ἐς τὸν διὸς πόλεμον, ἐὰν ἄρα φοβηθεὶς εἰς τὸν Β
συμμαχίαν κινδωνεύσῃ. ΥΠΟΧΕΣΦΙ ΤΙΤΥΣΚΕΤΟ
ὑπ' ἰζεύγνυτο τῷ ἁρμάτι τὼ ἵππω. ΩΚΥΠΕΤΑ ΧΡΥ
ΣΕΗΙΣΙΝ ΕΘΕΙΡΗΣΙΝ ΚΟΜΟΩΝΤΕ. χρυσῷ
κομοσμηλύαις, ἢ καλαῖς, ἄνθραξι δὲ ἄρηνται παρὰ τὸ ὀξ
ὺς ἔρισθαι, ὅ ἐστι πλέκεσθαι. ΩΚΥΠΕΤΑ ταχέως φέ
χοντας. ΙΜΑΣΘΗΝ. μάσγια. ΑΤΤΑΛΛΕΝ. οὐ
νύστητι κατὰ διάθεσιν ἐγίγνετο, ὅ ἐστιν ἐσκίρτα ἠδὲ ἔχαι Γ
ρεν. ΥΠΑΥΤΩΙ. αὐτὴ τῷ δὶ αὐτόν. ΠΑΝΤΟΘΕΝ ΕΚ
ΚΕΥΘΜΩΝΩΝ. ἐκ τῶν κατὰ θύσιαν ἠδὲ φωλεῶν. ΓΗ
ΘΟΣΥΝΗΙ. τῇ χαρᾷ. ΔΙΑΙΝΕΤΟ. διάδρομος ἐγίγνετο.
ΕΥΣΚΑΡΘΜΟΙ. εὐσκάρισοι, ὅ ἐστιν εὐκίνητοι, ταχεῖς,
σκαρθμὸς γὺ κατὰ διάλικτον ὁ πὸς. ΕΣΤΙ ΔΕΤΙΣΠΕ
ΟΣ ΕΥΡΥ. ἀφώτισον οἴκημα πλατὺ παρὰ τὴν σθίσιν Δ
τοῦ φωτός. ΛΙΜΝΗΣ. γὺν θαλάσσης. ΤΕΝΕΔΟΙΟ ΚΑΙ
ΙΜΒΡΟΥ. νῆσοι πλησίον ῥοίας κέμθναι, ἢ ἡ μὲν τόσος
κῆτει μίσῃ ῥηῶν πιλάγων, αἰγαίῳ, ἀλλ' ἡσπόνδιος, μέλανος κόλ
πε, διὸ καὶ ῥησος ὑπ' οἴνου καλῆτει, ἡ ἢ ἴμβρος ἐστὶν οὐ τῷ μὲ
λανι κόλπῳ. ΕΙΔΑΡ. ἴδισμα, ῥοφεῖν. ΕΔΜΕΝΑΙ. ἐδέμεν.
ΠΕΔΑΣ. δισμούς. ἤτοι παρὰ τὸ πίζειν ἄρκυν, ἢ παρὰ τὸ τὲ Ε
πόδας, ὥσπερ παρὰ τὸν ὀβολὸν τὸ ὑμιωβόλιον. ΑΛΥ-
ΤΟΥΣ. δυσλύτους. ΑΜΟΤΟΝ. αὐτὶ ἀμότως, ἢ ἀπλη-
ρώτως. ΑΒΡΟΜΟΙ ΑΥΙΑΧΟΙ. αὐτὶ τὸ πολύβρωμοι
ἠδὲ πολύηχοι, ἐκάστοτι βορυβώδεις τὰς ῥῶας παρίσησιν.
ΑΥΙΑΧΟΙ, αὐτὶ τὸ αὐίαχοι, τὸ γὰρ ν. ἐξαιρεθόντος,
ἐπεισῆλθε

A ὑπεισῆλθε τὸ ν. ὡς ηκει ὅτι τὸ ἀγαυοὶ, ἀγαυοί, χρύσιππος δὲ ὁ στωϊκὸς ηκει διονύσιος ὁ θρᾷξ ψιλοῖ τὸ αὐϊαχοι, ἵν' ᾖ ἔξ ρόφωνοι. ΓΑΙΗΟΧΟΣ ΕΝΝΟΣΙΓΑΙΟΣ. ἐπίθετα ποσειδῶνος, ηκει τὸμεγὰ μηλοῖ ὁ πλὴν γῆν συρίσχω, τὸ δὲ ἕτερον ὁ πινῶν αὐτλὼ, ἢ γὰρ πιεῖ ἰαχρὸν, δύο ἔστιν, ὧν χρὴ προϊσασθαι, ηκει τὰ νοσερὰ διορθᾶσθαι, ἢ τὰ ὑγιεινὰ προ

B φυλάσσειν. ΚΡΥΕΡΟΙΟ. φρικτοῦ, φοβεροῦ. ΑΛΛΗ· ἀλλαχῆ, κατ' ἄλλο μέρος. ΥΠΕΡΚΑΤΕΒΗΣΑΝ.

138 ὑπερίβησαν. ΕΞΟΥΣΙΝ. ἐφίξεσι, κωλύσουσιν. Η ΡΟΓΕ. ἰσαῦ ὁ μέρος ἔστος. Ο ΛΥΣΣΩΔΗΣ. ὁ μεμηνώς. ΕΡΩΗ ΣΑΙΤ ΑΠΟ ΝΗΩΝ. ἀποσρίψοιτι ἢ ἀπιλάσοιτι τῶν νεῶν ΣΚΗΠΑΝΙΩι. σκήπτρῳ ἀπὸ τοῦ σκηρίπτεσθαι, ὅ ἐστιν

Γ ἐπερείδεσθαι. ΚΕΚΟΠΩΣ. πλήξας. ΙΡΗΞ. ἴραξ. ΑΙΓΙΛΙΠΟΣ. ὑψηλῆς. ΠΕΡΙΜΗΚΕΟΣ. λίαν μεγάλης, ὑπερμεγέθης. ΑΡΘΕΙΣ. ἐπαρθεὶς, ἀποπλάς. ΠΕΔΙΟΙΟ. διὰ τὸ πιθὸς. ΟΡΝΕΟΝ ΑΛΛΟ. αὐτὶ τοῦ ἀλλόφυλον. ΤΟΙΙΝ ΔΕ. τότων δέ. ΟΙΛΗΟΣ ΤΑ

Δ ΧΥΣ ΑΙΑΣ. αἴας λοκρὸς μὲν ἦν τὸ γένος ἀπὸ πόλεως ὀπόντος, παῖδος δὲ ὀϊλέως, οὗτος μετὰ τὴν τῆ ἰλίκ πόρθησιν, αἴτιος τοῖς ἕλλησιν ἀπολέας ἐγένετο, κατανάραι γὰρ τὴν πελάμκ ἐπέτυχε σῦσαν ἀθηνᾶς, ὁ τῷ δι βιᾶς σκηπτοῦ πάσχυσον, ὥς τι τὴν βιαὺ τὰς ἑρθαλμὰς τοῦ ξοάνου εἰς τὴν ὀροφὴν βέψαι, τοῖς δὲ ἕλλησιν ὑποσρέφουσι ηκει κατὰ τὴν ἔνδοιαν χωμένοις, χαμαῖπας διήγειρεμεγάλας, ὥς τι πολλὰς αὐτῶν διαφθαρῆναι, διανηξάμενος δὲ αἴας εἰς τὰς γυάλους καλουμένας πέτρας, ἔλεγε χωρὶς θεῶν γνόμης διασωθῆναι, ποσειδῶν δὲ ἀγανακτήσας, διίσχισε τὴν πέτραν, ἢ τὸν αἴαντα τῷ κλύδωνι παρέδωκεν, ἐκεῖθεν δὲ αὐτὸν

E κατάδηλον γενόμενον, ὅτις ἐλέησασα, βάπτει, ἀθηνᾶ δὲ ὁ δὲ ὅτως δι ὀργῆς ἐπαύσατο, ἀλλὰ καὶ τοὺς λοκροὺς ἠνάγκασεν,

ὡσὶ

ζῆν χίλια ἔτη ἢ ἓν ἦμαρ παρθένος τὴν ἐμὴν, ἢ ἰσοβίαν παρὰ καλλιμάχῳ οὐ αὐτίοις, καὶ παρ' αὐτῷ τῷ ποιητῇ ὀν. Α
ἢ ὀδυσσέως παχυμερῶς. ΟΙΩΝΙΣΤΗΣ. οἰωνοσκόπος. πῶς δέ φησιν ὁ ποσειδῶν ἐκ Αἰθιόπων τὸν ὀδυσσέα, καὶ ῥητέον ὅτι φαντασίαν παρίχει τὸ θεῖον ἑαυτοῦ. ΙΧΝΙΑ. ἴχνη, πατήματα. ΑΡΙΓΝΩΤΟΙ. ἀδιάγνωστοι. ΜΑΙΜΩΩΣΙ. μετὰ προθυμίας ὁρμῶσιν. ΩΡΟΡΕ. ὦρμηται, Β
κατεβιβασμὸς χρόνου. ΕΣΣΥΜΑΙ. ὥρμηκα, ἐσπέδακα. ΧΑΡΜΗ ΓΗΘΟΣΥΝΟΙ. χαίροντες τῇ ψυχῇ, ἔστι δὲ ὅτι ἁπλοῖ ἢ πλέξις καὶ τῶν μάχλων. ΑΝΕΥΧΟΝ. ἀνανεῶντο, ἀνέπαυον. ΔΑΚΡΥΑ ΛΕΙΒΟΝ. ἰσόναξον, ἰσάκρυον. ΥΠΟΦΡΥΣΙ ΔΑΚΡΥΑ ΛΕΙΒΟΝ. οἱ γὰρ ὀφθαλμοὶ κατ' ὄμβρον ὑπὸ ταῖς ὀφρύσι, ποίμισόν μοι ζῆνος ὑπ' ὀφρύσιν ἔασι φαεινώ, διὰ δὲ τέτων, ἰσάκρυον, ἴτοι ἴσ ἔκνασαν, λειαθότως εἰλαιον. ΜΕΤΕΙΣΑΜΕΝΟΣ. πρὸς αὐτὸς ἀφικόμενος, μεθιλθών, ἢ μεταβληθείς. ΑΙΔΩΣ. αἰδέσθητι. ΑΜΑΣ. ἡμιτίρας. ΛΕΥΓΑΛΕΟΙΟ. ὀλιθρίε. ΝΥΝ ΔΗ ΕΙΔΕΤΑΙ ΗΜΑΡ ΥΠΟ ΤΡΩΕΣΣΙ ΔΑΜΗΝΑΙ. νῦν ἀνιφαὰν ἡ ἡμέρα ὀφθῇ ὑπὸ τῶν Δ
τρώων ἀναιρεθήσεσθαι. ΕΙΔΕΤΑΙ. φαίνεται. ΕΦΑΣΚΟΝ. ὑπελάμβανον, ἔλεγον. ΦΥΖΑΚΙΝΗΙΣ. φυσικαῖς, θεϊκαῖς. ΘΩΗΝ. πανθηρέων, ὁ θὼς ζῶον ἄκλιμον καὶ δυσίνυτον, οἵοις δὲ παρακλίσιον ὑαίνῃ. ΠΑΡΔΑΛΙΩΝ. παρδάλεων. ΗΙΑ. βρώματα, κυρίως δὲ τὰ ὀπτὰ ἐπιτήδεια, ἰφόδια. ΛΥΚΩΝ ΤΗΙΑ ΠΕΛΟΝ Ε
ΤΑΙ. βρώματα, ὁ τὰ οὐ οἶκοι δὲ ἐσθιόμενα, ἀλλὰ τὰ οὐ ὁδῷ, διότι φίλοι ἴσια φερόμενα, σημαίνῃς φησί, καὶ τὰ ἄχρεα δὲ ἴσια, λίγει. ὡς τὸ ὡς δ' αὖμος ζακὸς, ἵνων θημῶνα τινάξῃ, τάχα δὲ τὰ φερόμενα παρὰ τὸ ἰόναι, γονυκλινῆ. ὡς γὰρ αἶνος, διὰ τὸ φέρομεν παρὰ τὸ αἰνεῖν. ΗΛΑΣΚΟΥΣΑΙ. ἐκκλί

γουσαι,

A νυσαι, πλανώμενα. ΟΥΚ ΕΘΕΛΕΣΚΟΝ. ἐκ τοῦ ἑκὼν τὸ. ΕΚΑΘΕ. κάθηται. ΚΑΚΟΤΗΤΙ. κακίᾳ, δειλίᾳ.
139 ΜΕΘΗΜΟΣΥΝΗΣΙ. ταῖς ἀμιλίαις. ΑΛΛΑΚΕΩΜΕΘΑ ΘΑΣΣΟΝ. ἀλλ' ἀσώμεθα διὰ τάχος τὸ γιγνόμενον ἁμάρτημα. ΑΚΕΣΤΑΙ. ἀνθεράποντοι, ἀνίατοι, ὁ δὲ λόγος, ἀπὸ τῶν ἀγαθῶν φρόνησις ῥᾳδίως φερὸς τὸ κρεῖττον μεB τατίθεται ἀνθεράποντοι οὖσαι, ἢ θεραπευτικαί εἰσιν. ΟΥ ΚΑΛΑ. ἢ καλῶς. ΛΥΓΡΟΣ. χαλεπός, ἀδύσεος. ΝΕΜΕΣΣΩΜΑΙ. μέμφομαι. ΠΕΡΙ ΚΗΡΙ. ἐκ ψυχῆς. ΚΕΛΕΥΤΙΟΩΝ, παρακελευόμενος, παρορμῶν. ΓΑΙΗΟΧΟΣ. Ἅτοι ὁ ἀδὴς γῆς ὀχούμενος, ἢ ὁ χαίρων τοῖς ἅρμασιν, ἵππιος γὰρ ὁ θεός, ἢ ὁ σωίζων καὶ βαστάζων τὴν γῆν, φασὶ γὰρ αὐτὸνG ὠδὴν ὕδατος ἐκπεσεῖν, σὺν σείσμοις δέ, ὁ κινῶν τὴν γῆν, τῇ τοῦ ὕδατος γὰρ παρὰ χρόνον τινὰ μεταστάσει γίγνεται ὁ σεισμός. ΟΝΟΣΑΙΤΟ. μέμφατο. ΛΑΟΣΣΟΟΣ. ἢ τοὺς λαοὺς σώσασα τοτ' ἔσῃ εἰς φυγὴν ἄγουσα, ἢ σώζουσα. ΚΡΙΝΟΘΕΝΤΕΣ. διαταχθόντες. ΠΡΟΘΕΛΥΜΝΩ. ἐπάλληλοι, πυκνοί. ἀνδρόμαχοι δὲ τὰ ἐπάλληλα νεκρὰ φησὶν ὑλίνωςD θαι τὰ ἐπαλλήλως κλάδους ἔχοντα δούρατα διὰ τὸ θλυμαίνειν. ΥΛΥΟΝ. ὑρίμα ἦν ἔοντα. ΕΠΤΥΣΣΟΝΤΟ. ἀντὶ τοῦ αὐτὸ σωήγετο καὶ ἐκάμπτετο καθαινόμενα. ΠΡΟΥΤΥΛΑΝ. προβίβαλον, προὔκρισαν. ΟΛΟΟΙ ΤΡΟΧΟΣ. λίθος περιφερὴς, στρογγύλος, ὁ οὐ τῷ βρίχειν ὁλοὸς, τοτ' ἔσῃ ὀλίβριος, ἐπεὶ καταφερόμενος πᾶν τὸ ἐμπίπτον βλάπτει. ΣΤΕΦΑΝΗΣ, περικεφαλαίας, ἢ ὄρους ὄβοχὰς, νῦν δὲ λέπας πέτρας. ΑΣΠΕΤΩΙ. πολλῷ. ΑΝΑΙΔΕΟΣ. βραχείας. ΥΨΙ. ἐφ' ὕψους. ΑΝΑΘΡΩΣΚΩΝ. ἀναβαλλόμενος, ἀναπηδῶν. ΠΕΤΕΤΑΙ. ταχέως φέρεται. ΑΣΦΑΛΕΩΣ. παραμόνως. ΙΣΟΠΕΔΟΝ. ἰσόμαλον τόπον. ΕΣΣΥΜΕΝΟΣ ΠΕΡ. καὶ πορμῇ

ὥρμῃ πολλῇ χρώμενος. ΑΠΗΛΕΙ. ἀπέλα, ὑπισχνέ- Α
το, ὅτι δὴ τὸ ναυηγᾶται καὶ ἐπιπλέοιεν ἀλλοῖ. ΠΥΚΙ-
ΝΗΙΣ ΦΑΛΑΓΞΙ. ταῖς πυκναῖς τάξεσιν. ΕΝΕΚΥΡ
ΣΕΝ. οὐτύχψ. ΕΓΧΡΙΜΦΘΗΣ. οὐρέισας. ΑΜ-
ΦΙΓΥΟΙΣΙΝ. κατέρωθεν κνημιδίοις, καὶ βλάπ]αν
ἀμφαμένοις. ΗΥΣΕΝ ΔΕ ΔΙΑΠΡΥΣΙΟΝ. διὰ
παντὸς τοῦ πίρατος ἀπηοθῆναι δυοάμενον, ἢ διὰ πηρά- Β
σεως μὲν ἐς ἀκοὰς, ἢ διαπρύσιον διαφανὲς καὶ σημαντικόν.
ΔΑΡΔΑΝΟΙ. οἱ οὐ λαφύσσω πόλιν φρίας οἰκῶντες.
ΣΧΗΣΟΥΣΙΝ. ἰφίξουσι, κωλύσουσι. ΠΥΡΓΗΔΟΝ.
λίκνον πύργε, οὐ τάξει, ὅτι δὴ ἐκ πέρημα παραβολοειδὲς, ὅ-
μοιον τῷ σφαιρυδίῳ. ΚΟΥΦΑ ΠΟΣΙ ΠΡΟΒΙ-
ΒΑΣ. ἤτοι μετέωρα καὶ ὑψηλὰ προβαίνων, ἢ ἐπ' ἄκρων Γ
τῶν ποδῶν βαδίζων, οἱονεὶ ἀκροδακτίζων. ΥΠΑΣΠΙ
ΔΙΑ ΠΡΟΠΟΔΙΖΩΝ. ὑπὸ τῇ ἀσπίδι ἅρμα
καὶ συέλιγμα βαίνων, ἢ ὑπὸ τὴν ἀσπίδα τοὺς πόδας
τιθείς, τοντ' ἔστι περικαλύπ]ων αὐτοὺς τῇ ἀσπίδι ἐκατὰ
τὴν πορείαν, ἐξ οὗ πρόδηλον, ὅτι οὐχ ἕξειν ὁ Διΐφοβος Δ
ἀμφιβρότην ἀσπίδα, οὐ δὲ ὅπλα, ἐπεὶ ἂν αὐτὴν ὑφάρ-
πασεν. ΑΥΤΟΙΟ ΤΙΤΥΣΚΕΤΟ. κατ' αὐτὸ ἴσο
χάλκεο. ΚΑΥΛΩΙ. καυλὸς τὸ ἄκρον τοῦ λόγχης τὸ
ἐμβαλλόμενον ἐς τὴν ἐπιδορατίδα. ΕΑΓΗ. κατάγη,
ἐκλάδη. ΧΩΣΑΤΟ ΔΑΙΝΩΣ. ἐλυπήθη γὰ κατ'
ἀμφότερα ἐπί τε τῷ τὴν νίκην ἀφηρῆσθαι καὶ ἐὰ τῷ κ- Ε
κλᾶσθαι τὸ λόγχ. ΟΙΣΟΜΕΝΟΣ. νομίσων, οἴ-
σων, διαφέρει δὲ τὸ οἴσων καὶ τὸ οἰσόμεν@ οἴσων μὲ
γὰρ ἐτέρῳ, οἷονεὶ θεῖον γρὴ κακῶν ἄκ@, οἷονεὶ δ' ἄρτα
λοιπόν. οἰσόμεν@ δὲ ἑαυτῷ. ΠΗΔΑΣΟΝ. πέ- 140
δασ@ πόλις παρίας. ΜΕΛΙΗ ΩΣ. ὡς μελία,
ὅτι δὲ ἐλά@ δόνδρον. ΚΟΡΥΦΗΙ. βοχῇ.

ΕΚΑΘΕΝ

Α ΕΚΑΘΕΝ ΠΕΡΙΦΑΙΝΟΜΕΝΟΙΟ. πόρφυρον ὁρωμένου, περιόπτου. ΤΕΡΕΝΑ. ῥυφερά, ἀπαλά, ῥᾳδίως λυγαίνεσθαι, ἔτι δίχλωρά. ἔοικε δὲ ὥσπερ σωκαλῶν τῷ λιθάρῳ τοιαῦτα ἑρπύκειν. ΒΡΑΧΕ ΤΕΥΧΕΑ. ὄνομα τοπικόν. οὐτεύθην δὲ ἀπὸ τοῦ ἔχου τῶν ὑλάττων, καὶ τὸ βρίχειν ὑνόμασται. ὁ δὲ λόγος τὰ περὶ αὐτῶν

Β τύχια ἔβραχεν. ΝΙΣΣΟΜΕΝΟΝ. παραγινόμενον. ΟΡΕΞΑΤΟ. ἤρεσεν. ΧΡΟΟΣ ΕΣΑΤΟ. διὰ τοῦ χρωτὸς διῆλθε. ΚΑΡΧΑΡΟΔΟΝΤΩΝ. ὀξέως καὶ ἐπικαμπεῖς ὀδόντας ἐχόντων. ΡΩΠΗΙΑ. οἱ τόποι ὃν οἷς ῥῶπες φύονται. ῥῶπες δὲ πολύφυλλα καὶ ἰμαντώδη φυτὰ δρυῶν. ΥΥΟΥ. ὑὸν ὕψη. ΓΑΜΦΗΛΗΣΙ. γόμφοις. συναγόσι. παρὰ τὸ κικάμφθαι. ΚΟΡΥΣΤΑ. κορυσταί. ὁπλῖται. ΣΥΛΗΤΗΝ. ἢ δώριόν ἐστιν. ἢ παρὰ τὸ συλησάτην. ΣΦΑΙΡΗΔΟΝ. δίσκην σφαίρας. ΕΛΙΞΑΜΕΝΟΣ. ἐπισταφεὶς. ΥΙΩΝΟΙΟ. ἐκγόνου. ΙΓΝΥΗΝ. ἀγκύλην. ἢ τὸ ὄπισθεν τῶν γόνατος. ΕΝΙΚΑΝ. ἐκόμισαν. ΜΕΝΟΙΝΑ. ὠνθυμεῖτο. ΑΝΤΙ-

Δ ΑΑΝ. μεταλαμβάνειν. ἐφάπτεσθαι. ΕΙΣΑΜΕΝΟΣ ὁμοιωθείς. ΠΛΕΥΡΩΝΙ ΚΑΙ ΚΑΛΥΔΩΝΙ. αὐτὸ τὸ πλευρῶν καὶ καλυδῶν, εἰσὶ δὲ πόλεις Αἰτωλίας. ΑΙΤΩΛΟΙΣΙΝ ΑΝΑΣΣΕΝ. αἰτωλὸς παῖς μέν ἦν Οἰνομάου. ὃς ἀκούσιον φόνον φράσας, ἔφυγεν εἰς τὴν ἀπ' αὐτοῦ προσαγορευθεῖσαν Αἰτωλίαν. κἀκεῖ τεκνοῦται πλευρῶνα. ἀφ' οὗ ἡ Οἰνομάου Αἰτωλία πόλις, πλευρὼν ὑπλήθη. τότε δὲ γίγνονται δύο παῖδες κούρης καὶ Καλυδῶνος. ἀφ' ὧν ἄλλαι δύο πόλεις Οἰνομάου προσηγορεύθησαν.

Ε ΠΟΥ ΤΟΙ ΑΠΕΙΛΑΙ. λείπει τὸ εἰσίν, ἵνα τὰ ἀπὸ ἄλλης διανοίας. ἔχοντα τὰς ῥωσὶν ἀπείλεον ὕβρι ἀχαιῶν. ΟΣΣΟΝ ΕΓΩ ΓΕ ΓΙΓΝΩΣΚΩ. ὅσον ἐγὼ γνωρίζω.

ἐῶ. ΕΠΙΣΤΑΜΕΘΑ. δυνάμεθα. ἐμπείρως ἔχομεν. Α
ΙΣΧΕΙ. ἰσχύει. ΑΚΗΡΙΟΝ. ἀψυχοποιόν. ΑΝΔΥ
ΕΤΑΙ. ἀναλύεται. ΜΕΛΛΕΙ. ὠκνεῖ. ΜΕΝΕΔΗΙ
ΟΣ. ὑπομονητικὸς ὢν τῇ μάχῃ. ΜΕΛΠΗΘΡΑ. ἐμ
παίγματα. παίγνια. ἐνθάδε γὰρ οἱ πύργοι κορυφοῦν 142
ται τοῖς λευφάνοις ἐμπαίζειν. λέγω δὲ τὸ παῤ ἰαθίαι.
ΣΠΕΥΔΕΙΝ. κακοπαθεῖν. σπεύγειν. ΣΥΜΦΕΡΤΗ Β
ΔΑΡΕΤΗ ΠΕΛΕΙ ΑΝΔΡΩΝ ΚΑΙ ΜΑΛΛΑΥ
ΓΡΩΝ. αὐτὴ τῶν συμφορητή. τὸ δὲ ὅλον καὶ ἡ τῶν δει-
λῶν καὶ ἀνάνδρων καὶ μάλα λυγρῶν δύναμις ἐς ταυτὸ
συνιλθοῦσα, ἀρετῶν γίννα. ἡ δὲ μία πρόφασις λέπει τοῖς
ἀνδρείοις. ἔγε καὶ δειλοὶ ἀλλήλοις συνίστανται ἀνάρτω
δρῶσι. καὶ μάλα λυγρῶν ἀνδρῶν συμφορητὰ γίγνεται ἀ Γ
ρετή. πόσῳ μᾶλλον ὅτι καὶ ἀγαθοῖς ἡμεῖς δυνάμεθα μά
χεσθαι. ΝΩΙ ΔΕ ΚΑΙ ΚΑΓΑΘΟΙΣΙΝ ΕΠΙΣΤΑ
ΜΕΘΑ ΜΑΧΕΣΘΑΙ. ἡμεῖς δὲ καὶ ἀνδρείοις δυνά
μεθα μάχεσθαι. ἐπιστάμεθα γὰρ τὸ δυνάμεθα. ΑΜΠΟ
ΝΟΝ. ἐπὶ τὸν πόλεμον. ΕΝΑΛΙΓΚΙΟΣ. ὁμοῖος.
ΑΙΓΑΗΕΝΤΟΣ. λαμπροῦ. ΑΡΙΖΗΛΟΙ. μιγάδ
λοις ἀκλήροι. ΜΕΤΑ ΓΑΡ ΔΟΡΥ ΧΑΛΚΕΟΝ
ΗΕΙ ΟΙΣΟΜΕΝΟΣ. ἀσπὶς γὰρ δόρυ κομίσων. ΜΗ
ΡΙΟΝΗ ΜΟΛΟΥ ΥΙΕΠΟΔΑΣ ΤΑΧΥ ΦΙΛΤΑ
ΘΕΤΑΙΡΩΝ. δὶ οὐδὲς σίχν καὶ δι συγγενείας ὑπόμνη
σιν. καὶ τῶν τῶν ποδῶν ῥώμην ἐμαρτύρησεν καὶ τὸ ὑπερβά
λλον αὐτοῦ φιλοσοργίας ὀνειδίζετο. ΗΕΤΙ ΒΕΒΛΗΣ
ΑΙ. ἢ τιτρῶσαί τι μέρος τοῦ σώματος. ΗΕ ΤΕΥ ΑΓ
ΓΕΛΙΗΣ ΜΕΤΕΜΗΛΥΘΕΣ. ἢ πρός τινος ἀγγε
λείας πρὸς ἐμὲ παραγίγονας. ΤΟ ΝΥ ΓΑΡ. ἐκεῖνο
γὰρ δή. ΔΗΕΙΣ. ὑρήσεις. ΕΝΩΠΙΑ. οἱ ἐναντίοι
κατὰ τὰς εἰσόδους τοῖχοι, ἵν' ᾖ δούρατα πάμφανόωντα

Α ἐπιλθόντες συμ συρυμάχῳ τῷ βασιλεῖ, τὰς βάδας ἅλων. πλέονας δὲ τολμῶντες ἀδικήματα, κατὰ δίος προαίρεσιν, ὑπὸ ἀπόλλωνος διεφθάρησαν, ὡς ἱστορεῖ φερεκύδης ΔΕΥΕΣΘΑΙ. προσδεῖσθαι. ΑΔΗΝ ΕΛΩΣΙΝ. εἰς πόρον ἕλωσιν. ὅ ἐστι πολέμου κορεσθῆναι ποιήσωσιν. ΑΙ ΠΥ. μίγα. φοβερόν. ΕΣΣΗΤΑΙ. γενήσεται. ΔΑ

Β ΛΟΝ. δαυλόν. κεκαυμένον ξύλον. ΕΔΟΙ. ἐσθίει. ΔΗΜΗΤΕΡΟΣ ΑΚΤΗΝ. τὸν σῖτον. ἐπὲ καταπόμων καὶ ἁλοίμων, ἄρτος γίνεται. ΧΑΛΚΩΤΕ ΡΗΚΤΟΣ. σιληρόφωνος. ΡΗΞΗΝΟΡΙ. ὠθρεύω. παρὰ τὸ ῥεῖν. ΧΩΡΗΣΕΙΕ. παραχωρήσειν

Γ ΕΝ ΓΑΥΤΟ ΣΤΑΔΙΗΙ. ἀντὶ τῆ συμπάθειμ μάχη. ΕΙΔΩΜΕΝ. ἀντὶ τοῦ ἴδωμεν. θεασώμεθα. ΗΕ ΤΩΙ. ἅτινί. ΟΡΕΞΟΜΕΝ. παράσχωμεν. ΟΜΟΝ. ὅμοιον. ἰσορρεπές. ΛΙΓΕΩΝ ΑΝΕΜΩΝ. τῶν κατὰ τὸν ἄχον. ὀρέων. ΑΜΥΔΙΣ. ὁμόσε. ὁμοῦ, εἰς τὸν αὐτὸν τόπον. ΕΦΡΙΞΕ. ΔΕ ΜΑΧΗ. ἐπυκνώθη δὲ ἡ μάχη

Δ τῆ τῶν δοράτων αἰωρήσει. φέρεται γὰρ τὸ ὀρθοῦσθαι πυκνῶς. ΤΑΜΕΣΙ ΧΡΟΑΣ. τμητικὰς τὸ χρωτός. παρὰ τὸ ταμῶ ῥῆμα. οὗ ὁ μέλλων ταμίσω. ΑΜΕΡΔΕΝ. ἐφίρπον. ἠμαύρα. ΟΥΔΑΚΑΧΟΙΤΟ. ὁ δὲ λυπηθείη ἄν. ΑΜΦΙΣ ΦΡΟΝΕΟΝΤΕ. διάφορα καὶ μὴ κοινὰ φρονοῦντες, λυκῶς. ΤΕΤΕΥΧΑΤΟΝ. ἵππον

Ε χον. ἱπατθυπούαξον. ΟΡΟΘΥΝΕΝ. εἰς ὁρμὴν ἤγαγον. ΜΕΤΕΛΘΩΝ. ἐπ' αὐτοὺς παραγινόμενος. ΗΧΘΕ

143 ΤΟ. ἐβαρεῖτο. ἐλυπεῖτο. ΗΜΑΝ. ὄντως δή. ἀληθῶς δή. ΗΔΙΑ. τὸ πλησθῆναι δηλονότι. ἵνα ᾖ καὶ μόνη. ΠΑΤΡΗ. ἐκ τοῦ αὐτοῦ πατρός. γένος ἡ πατρίς. ΑΜΦΑΔΙΗΝ. φανερῶς. ΤΩ ΔΕΡΙΔΟΣ ΚΡΑΤΕΡΗΣ ΚΑΙ ΟΜΟΙΟΥ ΠΤΟΛΕΜΟΙΟ ΠΕΡΑΡ ΕΠΑΛ

ΛΑΞ

ΑΛΞΑΝΤΕΣ ΕΠΑΜΦΟΤΕΡΟΙΣΙ ΤΑΝΥΣΑ
ΣΑΝ. ὁ δὲ ζεὺς ἡκὰ ὁ ποσειδῶν τὰ πίρατα ἀμάχης τὴ
τοῦ πολίμου τείναντε κατὰ ἀμφοτίρων τῶν στρατῶν, ἴδε
σαν ἰσχυρῷ λαβομῷ. ὃς λισμὸς πολλοῖς αὖτις ἀπολείας
ἐγίνετο. τὴν γὰρ ἀποτίθεται ἀλληγορικῶς τὰς ὑπατίρω
θεν ἰσχὰς ἐπιπεπλιγμένως. μίαν μὲν ῥώμην. μίαν δὲ ἐν
λάνων. κατὰ ποσειδῶνα ἡκὰ λιὸς γνώμην. τῶν ἐγκατα
πεπλιγμένων κτεινομένων ἀπὸ τῶν ἰσχῶν, τῶν μὴ λυνα
μένων μήτι ῥαγῆναι μήτι λυθῆναι. ταῦτα οὖν ἀλληγορεῖ
ἐς τὸ ἰσόῤῥοπον αὐτῶν τὴν ἰσχὺν συνῆναι διὰ τὰς τῶν θε
ῶν βοηθείας. ΠΕΙΡΑΡ. πίρας. τέλος. ΕΠΑΛΛΑΞ
ΑΝΤΕΣ. ἐπιπλέξαντε τὰς κῆρας. τὴ οἰονεὶ λύσαν
τε. ΑΛΥΤΟΝ. αὐτὶ τοῦ λύσιτον. ΜΕΣΑΙΠΟ
ΛΙΟΣ. ὁλιγόμνος σπαρτοπόλις. ᾗ λισπαρμένα ἀ
σὶν αἱ πολιαί. ὁμισάλιξ. ΕΝ ΦΟΒΟΝ ΩΡΣΕΝ. οὐ
βαλλιφυγήν. ΚΑΘΗΣΟΘΕΝ ΕΝΔΟΝ ΕΟΝΤΑ.
ἀπὸ καθησοῦ πόλις ἰκδιδλημκότα. ἔστι δὲ πόλις θρᾴ
κης. ΜΕΤΑ ΚΛΕΟΣ ΗΛΗΛΟΥΘΕΙ. ζὰν τὴν τ
πολίμου δόξαν παρηγόνει. ΑΝΑΕΔΝΟΝ. αὖθι τῶν
πρὸ γάμου διδομένων λώρων. ΥΠΟΣΧΕΣΙΗΣΙ ΠΙ
ΘΗΣΑΣ. ταῖς ὑποσχίσισι πισύνας. ΥΫΙ ΒΙΒΑΝ
ΤΑ. ὑψηλὰ διαβαίνοντα. ΑΙΝΙΖΟΜΑΙ. ἐπαινῶ.
ΣΥΝΩΜΕΘΑ. συνθίκην ποιησώμιθα. ΑΜΦΙ ΓΑ
ΜΩι. περὶ γάμου. ΕΕΔΝΩΤΑΙ. προικοδότας. Α
ΜΥΝΤΩΡ. βοηθός. ΠΝΕΙΟΝΤΕ ΚΑΤΩΜΩΝ.
καταπνίοντε αὐτῶν τὸ μιτάφρενον. ΙΕΤΟ. προθυμεῖ
το. ΔΙΑΠΡΟ ΔΕ ΧΑΛΚΟΝ ΕΛΑΣΣΕ. διὰ
λασι δὲ, ὅ ἔστι διαπίρασι τὸν σίδηρον. ΑΧΕΡΩΙΣ. ἁ
λύκη. παρὰ τὸ ἀκ τοῦ ἀχίροντος ποταμοῦ τῶν καταχθο
νίων ὀνομαζόμενα αὐτὴν ὑπὸ ἡρακλίους φλεγμένου αὐτῆ

Α χατορμίρῳ, ΠΑΧΥΣ. ὑπερβαρὴς. ΑΠΟΥΔΕΟΣ. ΟΧΛΙΣΗΝ. ἀποκινήσειαν τὸν ἰλλάρην. ΠΑΛΛΕΝ. αὐλίπαλλιν. ἰκίνεα. ΟΛΙΓΟΝ ΑΧΘΟΣ. ὡς κοῦφον βάρος. ΕΠΗΓΕΙ. βαρεῖ. ΣΑΝΙΔΩΝ. τῶν βυρσῶν. ΑΕΙΡΑΣ. ὑπάρας. βαστάσας. ΔΙΚΛΙΔΑΣ. σλιβύρας. ΟΧΗΕΣ. οἱ μοχλοὶ ἀπὸ τοῦ συνίχειν τὰς βύ-
Β ρας. ΕΙΧΟΝ. κατεῖχον. ΕΠΗΜΟΙΒΟΙ. ἐπ' ἀμοιβῆς ἀλλήλοις ὑπικέμψοι. εἰς ὑφ' ἕνα. ΚΛΗΙΣ. κλάς. ΕΠΑΡΗΡΕΙ. ἐφάρμοσε. ὑπέκειτο. ΕΡΕΙΣΑΜΕΝΟΣ μετὰ πολλῆς σλυνάμεως ὑπερασθάς. ΕΥ ΔΙΑΒΑΣ. ἰσχυρῶς βάς. ΑΦΑΥΡΟΤΑΤΟΝ. αὐτὶ τοῦ ἀφαυρὸν καὶ ἀσθενές. ἴσι δὲ ὑπερβατικῶς αὐτὶ τοῦ ἀπολύτου. ΘΑΙ-
Γ ΡΟΥΣ. τοὺς φρόφιγγας. ΒΡΙΘΟΣΥΝΗ. τῷ βάρει. ΕΣΧΕΘΕΤΗΝ. ὑπέσχον. ΔΙΕΤΜΑΓΟΝ. διεχάθησαν. διεχωρίσθησαν. ΛΑΟΣ ΥΠΑΙ ΡΙΠΗΣ. ὑπὸ δὲ τοῦ λίθου φορᾶς. ΕΣΘΟΡΕΝ. εἰσεπήδησε. ΝΥ-
ΚΤΙ ΘΟΗ. ὅτοι τῇ ταχίως ὑπιλαμβανούσῃ τῶν ὑμῶν. ἢ ὑπὲ δόκει ταχέως παρεῖναι ὡς πρὸς τὸν ὑμέραν, ποιμα-
Δ μένων ὑμῶν. ΥΠΩΠΙΑ. τὸν προσοψίν, ἀπὸ μέρος τὸ ὅλον. ΤΟΝΕΕΣΤΟ. ὃν ὑμφίεστο. ΕΛΙΞΑΜΕΝΟΣ. ὑπιτραφείς. ΥΠΕΡΒΑΣΑΝ. ὑπερίβησαν. ΕΣΕΧΥΝΤΟ. εἰσχύθησαν. εἰσῆλθον ῥοπικῶς ἀπὸ τῶν ὑδάτων. ΕΦΟΒΗΘΕΝ. εἰς φυγὴν ὥρμησαν. ΑΛΙΑΣΤΟΣ. ἀμετάβλητος. ἄπαυστος. ΕΤΥΧΘΗ. ἐγένετο.

ΣΧΟ

ΣΧΟΛΙΑ ΕΙΣ ΤΗΝ Ν. ΤΟΥ ΟΜΗΡΟΥ ῥαψῳδίαν.

ΕΥΣ ΔΕΠΕΙΟΥΝ ΤΡΩΑΣ ΤΕ Α 137
ΚΑΙ ΕΚΤΟΡΑ. κεχώρικε τῶν λοι
πῶν ῥώων τὸν ἕκτορα κατ' ἰθοχλώμε
τὰ τῖν ἰλίν πόρθησιν ἕκτωρ ὁ πελάμε
κεὶ μετὰ θάνατον, τῖν ἀπὸ θεῶν σύτύ
χησι τιμῖν. οἱ γὰρ οὐ βοιωτίαι θηβαῖοι
πιεζόμενοι πακοῖς ἐμαντεύοντο πιρὶ ἀπαλλαγῆς, χρησμὸς Β
ἦν αὐτοῖς ἰδόθη, παύσιαθαι τὰ δεινά, ἐὰν ἐξ ἀφνείν θρυά
δος τὰ ἕκτορ@ ὀστᾶ διαπομιδῶσιν ἐς τὸν παρ' αὐτοῖς κα
λούμενον τόπον διὸς γονάς, οἱ δὲ τοτο ποιήσαντις κεὶ τῶν
δικαίων ἀπαλλαγέντες, διὰ τιμῆς ἴσχον ἕκτορα, κατά τε
τὰς ἐπέγοντας καιρὸς, ἐπικαλέντ@ τῖν ἐπιφάνειαν αὐτο.
ἡ ἰσορία παρ' ἀριστοδήμῳ. ΕΠΕΙ ΟΥΝ. ἐπεδή. ΠΕ Γ
ΛΑΣΣΕ. προσπίλασεν, ἐγγίσαι ἐποίησι. ΠΑΡΑ ΤΗΣΙ. παρὰ ταύταις. ΠΟΝΟΝ. τῖν κατὰ τὸν πόλεμον τα
λαιπωρίαν. ΟΙΖΥΝ. ταλαιπωρίαν. ΝΩΛΕΜΕΩΣ. ἀδιαλείπτως. ΠΑΛΙΝ ΤΡΕΠΕ. τῖν ἀπὸ τῶν σὺβίος με
ταστροφῶν δικδῖ, ὅταν πάλιν κλίνασα, οἱ δ' αὖ τὰ μίσος μν
σίαν κεὶ θράκην ὁρῶσι. ἴσι δ' ὡ τοτο σύνηθυ ὁμήρῳ, πά Δ
λιν ποιήσι γίροντα, κεὶ ἐς τὸ πίσω πάλιν ἐρύσασα, κεὶ
ἀνάντιον δὲ πάλιν ἐρίσι. ΟΣΣΕ ΦΑΕΙΝΩ. ὀφθαλ
μὸς παχυμενύς τὸ φῶς, ἢ σιλπνός. ΙΠΠΟΠΟΛΩΝ. πιρὶ ἵππους πολλύντων ἐς οὐ πολιμικῶν. ΑΙΑΝ. γὴρ. ΑΓ
ΧΕΜΑΧΩΝ. τῶν συμάχων κεὶ ἐν τῳ πλησίον μαχομέ

Α γην. ΑΓΑΥΩΝ. λαμπρῶν, καὶ εὐδόξων, ἢ ὅσοι μάχονται τοῦ καλλιμάχου ἀγῶνος. ΙΠΠΙΜΟΛΓΩΝ. ἵππους ἄμελγόντων, γαλακτοφάγοι γὰρ εἰσιν, ὅθεν καὶ γαλακτοφάγους αὐτοὺς ἔπιφ, ἢ οἱ ἀρκτικοὶ γάλακτι καὶ τυρῷ διαιτῶνται, καλῶς ἄρτιον δικαιότατοι, ἐπιθυμία γὰρ πλούτου ἐπ' ἀδικίαν ἄγει, τοῦτο σωφρόνων καὶ λιτοργῶν, μᾶλλον καὶ οὐ πάντων τῶν λακεδαιμονίων δίαιταν εἰσάγειν. ΑΒΙΩΝ. ἄτακτος βίος μὴ χρημάτων ὄντων τόξοις. ἀπὸ τοῦ κατ' ἐπίτασιν ἐν πολυβίων καὶ πολυτῶν, ἢ τῶν ἡμέρων βίον μὴ ἐγνωκότων, ἐπιφέρει γὰρ δικαιότατον ἀνθρώπων, ἃ μὴ βιαζομένων, ἵνα δὲ καὶ ἔθνος οὐ συνήθως ἄβιον, ὃ καὶ ἀμαξόβιοι ὑπὸ νομάδων ὀνομαζόμενοι. ΑΛΑΟΣΚΟΠΙΝ. μετάφορα τῶν κατασκοπῶν, ὃ ὅτιν ἐπιμελῶς ἰσκέπει, ἀλαὸς γὰρ ὁ τυφλός. ΘΑΥΜΑΖΩΝ. θώμενος, καθορῶν. ΥΙΟΥ ΑΠΑΚΡΟΤΑΤΗΣ ΚΟΡΥΦΗΣ ΣΑΜΟΥ ΥΛΗΕΣΣΗΣ. σάμιοι ὅτι οὐ ἰωνία μετὰ διακοσιοστὴν ὑπ' ἄτακτον ἔτος τῶν Φοινίκων, χρησμὸν ἔλαβον παρὰ Πυθίας ἐς τὸν οὐρανὸν ἀναβήναι μετοικήσαι, ἀφ' ὧν ἡ σαμοθράκη προσηγορεύθη, ἡ ἰσοδία παρὰ ἀπολλοδώρῳ. ΣΑΜΟΥ ΘΡΗΚΙΚΗΣ. ἡ σαμοθράκη, τὸ μὲν τοι οὐ αὐτὴ ὄρος, σαώκη καλεῖται. ΕΝΙ ΜΕΣΣΑ. ἰμάφετο. ΠΑΙΠΑΛΟΕΝΤΟΣ. φαχίῳ. ΚΡΑΙΠΝΑ. κραπνῶς, ταχέως. ΠΡΟΒΙΒΑΣ. ἴχνια προβαίνων. ΟΡΕΞΑΤΟ. ἐβίβασεν, ἐπίβα. ΤΟ ΔΕ ΤΕΤΡΑΤΟΝ. προσληπτέον ὀρεξάμενος. ΑΙΓΑΣ ΕΝΘΑΔΕ ΟΙ ΚΑΥΤΑ ΔΩΜΑΤΑ. αἰγαὶ πόλις ἀχαΐας οὐ πελοποννήσου, ὅθα τιμᾶται ὁ ποσειδῶν, ἄγεται δὲ καὶ διονύσου ἑορτή, οὐ ξύπασθ' ἁμ' ὀχορὸς συφὰς τὰς τοῦ διάμονος τιλιτὰς ὀργιάζῃ, καὶ θαυμάσιον ὑπιτιλᾶσθαί φασιν ἔργον, ἄμπελοι γὰρ ἐς καλὸν ἰὼν ἡμέρας αὐτοχύσους ἡμέρας, καρπὸν βλαστάνουσιν, ἄχει δὲ καὶ ἱστέρας οἶνον ἄφθονον ἴσχουσιν, ἢ

σιν, ἢ ἰσθεία παρὰ ἀγοράνι. ἵστηται δὲ διατὶ οὐδὲν ἧσ Α
τορήσεται ὁ ποσειδῶν ἐς ῥοῖαν, ἀλλὰ τὸν χρόνον δαπα
νᾶ πορευθεὶς ἐς αἰγάς. ῥητέον ὅτι δυεῖν ὄντα πραγμάτων
μεμηχάνηται ἡ ἀποδημία, πρῶτον μὲν, ἵνα ἀποπλανήσῃ
τὸν Δία ὡς ἀπολειπὼν τὸ πόλεμον, δεύτερον δὲ, ἵνα καὶ
βοηθείᾳ ἐς τὸν Δίος πόλεμον, ἐὰν ἄρα φοβηθεὶς ὁ Ζεὺς Β
συμμαχίαν κινδωνεύσῃ. ΥΠΟΧΕΣΦΙ ΤΙΤΥΣΚΕΤΟ
ὑπὸ ἰξεύγνυτο τῷ ἁρματι τοὺς ἵππους. ΩΚΥΠΕΤΑ ΧΡΥ
ΣΕΗΙΣΙΝ ΕΘΕΙΡΗΙΣΙΝ ΚΟΜΟΩΝΤΕ. χρυσῷ
κομοσμημένους, ἢ καλαῖς, ἄθηραι δὲ ἄρηνται παρὰ τὸ δῆ
ῦσθαι ἔριθαι, ὅ ἐστι πλέκεσθαι. ΩΚΥΠΕΤΑ ταχίως θέ
χοντας. ΙΜΑΣΘΛΗΝ. μάσιγα. ΑΤΤΑΛΛΕΝ. οὐ
